§. 49, 2. ὑμᾶς Bait. et Spp. τινας vulg. 3. ἴῃ] εἴη Ald. ἐπιτρέπητε] ἐπιτρέποιτε A. 5. ἐμέλλησεν] ἐμέλησεν NA.

§. 50, 3. καὶ deleri jubet Reisk. 4. προστάξαντος] κελεύσαντος (προστάξ) M. 5. ἔςιν] ἔςι Ald. ὅντινα] ὅντιν' ἂν Bait. et Spp. Particulam ἂν hic et infra 91. II. 3. III. 18. 19. inseruerunt recentiores critici, ego non item. Optativum conatus sum defendere in annot. ad Antiph. p. 144. ποιήσειεν] ποιήσαιτο Bekk. in nott. ποιήσαιτ' ἂν in Addend. Aut ποιήσαιτο aut τοῦτο ποιήσειεν scribendum esse censeo. 6. μιαρὸν] μικρὸν ZM.

φασιν, δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως, ὥσπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ' ὃ ἐζήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος τοῦ δήμου, παρ' ὧν νῦν οἱ δικασαὶ τἀδικήματα πυνθάνονται. κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν ἕτοιμός εἰμι. εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί με φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ ἐγὼ παρέξομαι ὅτι οὐκ ἀπεφάνθην. καταψευσάμενον μέντοι κἀμοῦ καὶ τῆς βουλῆς ὥσπερ σύ, καὶ πονηρὸν καὶ προδότην εἰσαγγείλας, καὶ ἐξελέγξας ἐν πεντακοσίοις καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώσας αὐτὸν Πυθοκλεῖ κατ' ἐμοῦ ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικασάντων. Λάβε μοι σὺ τὴν μαρτυρίαν ἣν καὶ πρότερον παρεσχόμην μαρτυρουμένην τοῖς δικασαῖς καὶ οὐδεὶς ἐπεσκήψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν παρέξομαι. λέγε τὴν μαρτυρίαν. 51. 52.

---

§. 51, 2. ὥσπερ νῦν] ὡς περὶ σοῦ (vel σε) νῦν conj. Reisk. ὥσπερ — γέγονε in marg. hab. M. 4. παρ' NAB Wolf. Reisk. et recc. edd. παρὰ Gruter. περὶ cett. 7. με] μοι BLZM. 8. ἀπεφάνθην NA Bekk. et recc. edd., quod conjectura invenerat Reisk. ἐφάνθην cett.

§. 52, 1. καταψευσάμενον NAB Wolf. Gruter. Reisk. et recc. edd. καταψηφισάμενον L Ald. Steph. Wech. καταψηφισάμενοι ZM. Articulum addendum esse conjec. Schm. Ego ante participium nonnulla puto excidisse. Cf. ann. cr. infr. v. εἰσαγγείλας. μέντοι] οὖν ZM. 2. Ante ὥσπερ σὺ Reiskio visum aliquando deesse μιαρόν. καὶ post πονηρὸν add. N et conjecerat Wurm. coll. Dem. adv. Spud. 23. εἰσαγγείλας] ὃν εἰσαγγείλας N pr. A. Pronomen relativum haud scio an inseri debeat. 3. καὶ δισχιλίοις add. NA Bekk. et recc. edd. 4. αὐτὸν] αὐτὸν N Ald. Πυθοκλεῖ N. Τιμοκλεῖ vulg. 8. ἣν καὶ] καὶ malebat Reisk. παρέξομαι] παρέχομαι malebat Reisk. sine idonea causa.

ΜΑΡΤΥΡΙΑ.

53. *Εἶτ' οὐ δεινόν, ὦ Ἀθηναῖοι, εἰ ὅτι μὲν εἷς ἀνὴρ ἔφησε Πιϛίας Ἀρεοπαγίτης ὧν ἀδικεῖν με, καταψευδόμενος κἀμοῦ καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν ἐπιϛεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί· ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴκοσι τάλαντα χρυσίου καθ' ὑμῶν καὶ ταῦτα πεποιηκότα ἀδικεῖν, καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τινες, ἐπ' αὐτοφώρῳ χρήματα*
54. *λαμβάνων εἴληπται, νῦν τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθενέϛερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἱ ἀποπεφεύγασιν εἰσελθόντες εἰς τὸ δικαϛήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; τοῦτο δὲ ὃν τρόπον γίνεται, ῥᾳδίως ἅπαν-*
55. *τες μαθήσεσθε. ἡ βουλή, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν καὶ τὰ γεγενημένα παρ' αὐτοῖς ἀδικήματα οὐχ ὡς ὑμεῖς (καί μοι μὴ ὀργισθῆτε) δικάζειν ἐνίοτε εἴθισθε, τῇ συγγνώμῃ πλέον ἢ τῷ δικαίῳ*

---

§. 53, 1. *εἰ* om. LZM. 2. *ἀδικεῖν με*] *ἀδικεῖ μὲν* LZM. *ἀδικῇ μὲν* B. 3. *κἀμοῦ*] *κατ' ἐμοῦ* N. *καὶ ἐμοῦ* pr. A. *ἐμοῦ* ZM. Cf. §. 52. *τῆς βουλ.*] *τῶν* (*ῆς*) *βουλ.* M. 10. *αὐτοφώρῳ*] *αὐτοφόρῳ* Ald.

§. 54, 6. *ἀποπεφεύγασιν*] *ἀποφεύγασιν* N. *εἰσελθόντες*] *ἀπελθόντες* (*εἰς*) M.

§. 55, 2. *ὑμῶν*] *ἡμῶν* M. *αὐτοῖς* Bekk. et recc. edd. *αὐτοῖς* vulg. *αὐτῇ* conj. Wolf. *μοι μὴ*] „Usitatius *μή μοι*“ Bekk. Sed cf. Dem. de synt. 3. 34. adv. Eubulid. 50. de cor. 59. 199. 4. *συγγνώμῃ* NB et rec. A Bekk. et recc. edd. et conjecerat Wolf.

ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα τοῖς ζητου-
μένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα τὰ πάτρια, νομί-
ζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν τοῦ-
τον τὰ μεγάλα τῶν ἀδικημάτων εὐχερέςερον προσδέ-
ξεσθαι. διόπερ τὸν παρ' αὐτῶν ἀποςερήσαντα τὸ ναῦ- 56.
λον τὸν πορθμέα ζημιώσασα πρὸς ὑμᾶς ἀπέφηνε· πά-
λιν τὸν τὴν πεντεδραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος
ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε,
καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα
ἀποδόσθαι παρὰ τὰ νόμιμα τὸν αὐτὸν τρόπον ζημιώ-
σασα ἐξέβαλε. τούτους ὑμεῖς κρίναντες ἀφήκατε οὐ 57.
τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδε-
σθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέ-
μενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς
ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. ἦ που
ἄρα ἡ βουλή, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; οὐ
δήπου. τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιούτους ἑτέ-

γνώμη εἴθισθε M. γνώμῃ cett. 5. Post ζητουμένοις Wolfio deesse videtur ἀποφαίνει, Reiskio κολάζει, Schmidtio δικάζει vel simile verbum. 6. ὁποιονοῦν] ὁποιωσοῦν Wolf. τὰ πάτρια] κατὰ τὰ πάτρια scil. ζητεῖ, virgula ante κατὰ posita, Dobreus, Bait. et Spp. Equidem post ἠδικηκότα malim inserere ἀποφαίνει κατὰ. νομίζουσα] κομίζουσα Reiskius exstare in Aldina contendit: equidem inveni νομίζουσα, sed pro ἐν ibi legitur ἐκ. 7. τοῦτον] τούτων BL. τούτων τούτων [ον] M. 8. προσδέξεσθαι NAB Bekk. et recc. edd. et conjecerat Stephanus. προσδέξασθαι ceteri.

§. 56, 1. αὐτῶν Bekk. et recc. edd. αὐτῶν N. vett. edd. Dobs. Verba παρ' αὐτῶν redundare videntur Wolfio, Bait. et Spp. 3. πεντεδραχμίαν] πενταδραχμίαν N. Cf. Lobeck. ad Phrynich. p. 412. Pierson. ad Moerid. p. 237 Lips. Quamquam πενταδραχμίαν praebet Xenoph. Hell. 1, 6, 12. 6. παρὰ add. NAB Bekk. et recc. edd. et conjecerat Wolf.

§. 57, 6. Interrogationis signum tolli jubet Bekk. in Addend. 7. δήπου] δῆτα [που] M.

ρους ἀδικεῖν παρ᾽ ἑαυτῆς ἀποφηνάσης τῆς βουλῆς ὑμεῖς
58. ἀφήκατε. Πολύευκτον δὲ τὸν Κυδαντίδην τοῦ δήμου
προστάξοντος ζητῆσαι τὴν βουλήν, εἰ συνέρχεται τοῖς
φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς
ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. κατηγόρους εἵλεσθε
κατὰ τὸν νόμον, εἰσῆλθεν εἰς τὸ δικαςήριον, ἀπελύ-
σασθ᾽ ὑμεῖς, ὁμολογοῦντος τοῦ Πολυεύκτου βαδίζειν
εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὐτοῦ
μητέρα τοῦτον. οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαί-
νετο ὑμῖν ποιεῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος
ἠτυχηκότι καὶ συνευπορῶν, καθ᾽ ὅσον δυνατὸς ἦν, ἀπε-
59. ςερημένῳ τῆς πατρίδος. αὕτη, Δημόσθενες, τῆς βου-
λῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθι-
νῆς δὲ αὐτῆς οὔσης ἔδοξε τοῖς δικαςαῖς ἀφιέναι τὸν
Πολύευκτον· τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη
ζητεῖν, τὸ δὲ συγγνώμης ἄξιον, φημί, τὸ δικαςήριον
ἔκρινε. διὰ τοῦτο οὐ πιςευτέον τῇ βουλῇ περὶ τῶν
γενομένων ἀποφάσεων, ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ
τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; δεινὸν μέντ᾽ ἂν εἴη.
60. δεῖξον γὰρ δὴ τοῖς δικαςαῖς σύ, Δημόσθενες, νυνὶ ὡς
τούτων τι τῶν ἁμαρτημάτων ὅμοιόν ἐςι τοῖς σοῖς ἀδι-

---

§. 57, 8. παρ᾽ ἑαυτῆς] παρ᾽ ἑαυτῇ conj. Reisk.

§. 58, 2. εἰ συνέρχεται NAB Bekk. et recc. edd. εἰσέρχεται
συνιέναι
LZM. εἰ συνεισέρχεται cett. 4. συνιέναι] πρὸς τὸν δῆμον penna ducta per πρ. τ. δ. M. 5. τὸν νόμον N. τοὺς νόμους vulg. 6. τοῦ add. N. 7. αὐτοῦ] αὑτοῦ N Ald. 9. ὑμῖν ποιεῖν N. ποιεῖν ὑμῖν ceteri. 10, ἀπεςερημένῳ] ἀπεςηρημένῳ Ald.

§. 59, 2. ἐξηλέγχθη] ἐξελέγχθη N. 5. ἄξιον, φημί,] ἄξιόν φημι Ald. ἄξιον ἢ μὴ Reisk. Bekk. Schm. Dobs. 7. γενομένων ABZM Bekk. et recc. edd. γινομένων NL vett. edd. σὲ] σε Ald. Steph. Wech. Dobs.

νυνὶ
§. 60, 1. δὴ add. N. νυνὶ NAB Bekk. et recc. edd. ταυῦν L. τὰ νῦν Z. ταυῦν M. τὰ νυνὶ ceteri. 2. ἁμαρτημάτων re-

κήμασι, καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος συγγνώμης ἐςὶν ἄξιον, ὥςε ἀποφύγοις ἂν παρὰ τούτοις εἰκότως. ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παράδειγμα γίνηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων, ἵνα μὴ λυσιτελὲς ᾖ τοῖς τοῦτο τολμῶσι ποιεῖν.

Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ τῶν 61.
πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι τὴν τῆς βουλῆς ζήτησιν, σοὶ δὲ μόνῳ τὰ περὶ αὐτῆς ἠναντιῶσθαι. ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σεαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ ἡ βουλὴ

---

scripsi pro ἡμαρτηκότων cum Sauppio. Simile vitium sublatum est Antiph. de caed. Her. §. 93. ubi ἀσεβημάτων optimus codex praebuit pro vulg. ἠσεβηκότων. 7. ὀφείλειν] ὀφείλην Ald. 9. ὁ om. ZM. γίνηται NA Bekk. Dobs. Bait. et Spp. γένηται ceteri. 11. τῶν δώρων abesse malit Saupp. coll. II. 17. λυσιτελὲς] λυσιτελὴς N.

§. 61, 2. πρότερον Scaliger. Reisk. et recc. edd. προτέρων ceteri. 3. ἀξίαν] ἀληθῆ aut ἀποδοχῆς ἀξίαν aut potius ἀξιόπιςον conj. Wolf. Fort. δικαίαν. Cf. Lycurg. §. 12. 4. τὰ περὶ αὐτῆς] τὰ deletum vult Dobreus, τοῖς παρ' αὐτῆς scil. ἀποπεφασμένοις conj. Wolf. τὰ παρ' αὐτῆς Reisk. ἠναντιῶσθαι] ἠναντιοῦσθαι Z. 6. τούτους] καὶ τούτους M. 7. σεαυτοῦ N. σαυτοῦ vulg. 8. ὡμολογημένων NABLZM Bekk. et recc. edd. ὡμολογουμένων vett. edd. Illud Wolfius quoque conjecit: Stephanus aut ὡμολογημένων aut ὁμολογουμένων legi vult: ὁμολογουμένων praetulit Reisk. 9. τὴν

τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν χώραν ὑπὸ
62. Ἁρπάλου κομισθέντων. ἀλλὰ μὴν πρότερον ἔγραψας
σύ, ὦ Δημόσθενες, κατὰ πάντων τούτων καὶ τῶν ἄλ-
λων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου
βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα
χρωμένην τοῖς πατρίοις νόμοις· καὶ παρέδωκας σὺ καὶ
ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φή-
σεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψή-
φισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱός, παραδοθέν-
63. τες τῷ ἐπὶ τῷ ὀρύγματι· ἐδέθη τῶν ἀφ' Ἁρμοδίου
γεγονότων εἷς κατὰ τὸ σὸν πρόσταγμα· ἐςρέβλωσαν
Ἀντιφῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς βουλῆς ἀπο-
φάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πό-
λεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις
καὶ τιμωρίας. κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐ-
τὸς τὸ ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νό-
μιμά ἐςι;

ζημίαν pro ζημίαν scribi vult Wurm. Comm. p. 15. 10. εἰλη-φότα τι] Fort. εἰληφότα σέ τι aut εἰληφότα σὲ. Cf. Diodor. Sic. 17, 108. 18, 13. Eandem verborum collocationem habes §. 104.

§. 62, 4. τὸν] τὴν M. 5. πατρίοις Wolf. Bait. et Saupp. πατρῴοις vulg. Cf. §. 4. ζητεῖν τὴν βουλὴν, . . ὡς αὐτῇ πάτριόν ἐςιν. Schömann ad Isae. p. 218. 6. ἐνεχείρισας] ἐνεχείρησας N. ταύτῃ] ταύτην Z. ταύτῃ^ν M. 9. τῷ post ἐπὶ om. ZM.

§. 63, 2. γεγονότων om. ZM. 4. Ἀρχῖνον] Ἀναξῖνον suspic. Droysen. üb. die Aechtheit der Urkunden in Demosth. Rede vom Kranz. Berl. 1839. p. 129. 5. προδοσίᾳ] προδοσίας M. 6. καὶ τιμωρίας] Haec aut ita integranda esse καὶ ἄλλοι πολλοὶ τὰς αἰσχίςας ὑπέμειναν διά σε τιμωρίας aut sic verba collocanda κατὰ δὲ σαυτοῦ τὰς τιμωρίας (καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα) ἀκυροῖς censet Reisk. Vid. ann. ad §. 55. αὐτὸς] ὁ αὐτὸς vett. edd. Articulum aut transponi (ὁ αὐτὸς τὸ ψ. γράψας) aut deleri jubet Dobreus. 8. ἐςι N vett. edd. Dobs. ἐςιν Bekk. (de codd. tac.) Schm. Bait. et Spp.

Μαρτύρομαι τὰς σεμνὰς θεάς, ἄνδρες Ἀθηναῖοι, 64.
καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας
τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν Πολιάδα, καὶ
τοὺς ἄλλους θεοὺς οἳ τὴν πόλιν καὶ τὴν χώραν ἡμῶν
εἰλήχασιν, [ὅτι] τοῦ δήμου παραδεδωκότος ὑμῖν τιμω-
ρήσασθαι τὸν εἰληφότα τι κατὰ τῆς πατρίδος, τὸν λε-
λυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πόλεως εὐδαιμο-
νίαν, τὸν περικεχαρακωμένην παραδεδωκότα τὴν πα-
τρίδα ταῖς αὐτοῦ συμβουλίαις, ὃν οἱ μὲν ἐχθροὶ καὶ 65.
κακόνοι τῆς πόλεως ζῆν ἂν βούλοιντο, συμφορὰν ἡγού-
μενοι τῆς πόλεως εἶναι, ὅσοι δὲ εὖνοι τοῖς ὑμετέροις
πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης ἐλπίζουσιν ἐπὶ
τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν, τὴν
ἀξίαν δόντα δίκην τῶν πεπραγμένων ἀπολωλέναι βού-
λονται, καὶ ταῦτ' εὔχονται τοῖς θεοῖς. οὓς κἀγὼ συμ-
παρακαλῶ σῶσαι τὴν πατρίδα, κινδυνεύουσαν ὁρῶν
ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ δό-
ξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν ἁπάντων. τί γὰρ ἐροῦ- 66.
μεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς περιεστηκότας ἐξελθόντες

---

§. 64, 1. Μαρτύρομαι] μαρτυροῦμαι conj. Wolf. ἄνδρ. Ἀ.] ὦ ἄνδρ. Ἀ. Dobs. Cf. §. 18. 3. πολιάδα suspic. Wolf. et Reisk. recep. Bait. et Spp. πολίτηδα Ald. πολίτιδα vulg. 4. τὴν πόλιν καὶ τὴν χώραν N. τὴν χώραν καὶ τὴν πόλιν vulg. Cf. Lycurg. 1. 38. 121. Dem. de cor. 184. Quamquam altera quoque deprehenditur verborum collocatio. 5. εἰλήχασιν] εἰλήφασιν M. (χ) ὅτι ejiciendum esse censeo. τιμωρήσασθαι pr. N, ABLZM Bekk. et recc. edd. τιμωρήσετε rec. N. Deleta particula ὅτι, Sauppius malit τιμωρήσασθε. οὐκ ἐτιμωρήσασθε ceteri. Conf. I. 98. II. 14. 20. III. 14. 6. τι κατὰ] τι τῶν κατὰ NA. 8. παραδεδωκότα] προδεδωκότα conj. Schm. παραδεδωκότα in marg hab. A. 9. αὐτοῦ] αὑτοῦ Ald.

§. 65, 2. ζῆν] ζητεῖν pr. A. 3. ὑμετέροις ABLZM Bekk. et recc. edd. ἡμετέροις ceteri. 6. δόντα δίκην N. δίκην δόντα vulg.

§. 66, 2. πρ. τ. περιεστηκότας in marg. hab. M.

ἐκ τοῦ δικαςηρίου, ἐὰν (ὃ μὴ γένοιτο) παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας; τίσιν ὀφθαλμοῖς ἕκαςος ὑμῶν τὴν πατρῴαν ἑςίαν οἴκαδε ἀπελθὼν ἰδεῖν τολμήσειεν, ἀπολελυκότες μὲν τὸν προδότην τὸν πρῶτον εἰς τὸν ἴδιον οἶκον εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μήτε ζητεῖν μήθ' εὑρίσκειν τὸ σεμνότατον παρὰ πᾶσιν ἀνθρώποις εἶναι
67. νομιζόμενον συνέδριον; τίνας δέ, ὦ Ἀθηναῖοι, (σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτούς) τίνας τὰς ἐλπίδας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις ἀδόκιμον καταςήσαν-
68. τες; τί δ' ἐὰν (τιθῶμεν γὰρ ταῦτα) ἐὰν κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπά-

§. 66, 5. οἴκαδε ἀπελθὼν in marg. hab. M. τολμήσειεν] τολμήσειε N. τολμήσει conj. Bekk. et recep. Bait. et Spp. ἂν τολμήσειεν aut τολμήσει Wurm. Tu confer Bernhardy. Synt. p. 411. 6. τὸν πρῶτον] τὸ πρῶτον ZM. τὸν πρῶτον τὸν N pr. A. 7. οἶκον add. NA Bekk. et recc. edd. et addendum esse viderant Wolf. (qui malebat εἰς τὸν οἶκον om. ἴδιον) Stephanus et Reiskius. δεδωροδοκημένον] δεδωροκημένον N. 8. κατεγνωκότες] καταγνόντες (κατεγνωκότες penna ducta per καταγνόντες M. μήτε Bekk. qui codicum non facit mentionem, et recc. edd. μηδὲ Dobs. ceteri. 9. σεμνότατον ante παρὰ collocat N: ceteri post εἶναι inferunt.

§. 67, 2. τὰς add. NA Bekk. et recc. edd. 5. ἔχον] ἔχων pr. N. 6. κινδύνοις] χωρίοις (κινδύνοις superscr.) M.

§. 68, 1. τί δ' ἐάν (τιθῶμεν κτλ.) Ita edidi pro vulg. τί δὲ ἂν κτλ. cum Baitero. Cf. Dem. de f. leg. 89. 294. in Aristocr. 120. adv. Boeot. de n. 15. 16. 18. in Aristog. I, 74. 91. τί δέ, ἂν τιθῶμεν κτλ. Ald. τί δ' ἂν — τιθῶμεν κτλ. Dobs. ἂν tolli jubet Wolf. Pro δὲ in N legitur δαί: pro ἂν τιθῶμεν in ALM ἀντιθῶμεν.

πάλου, καὶ πρὸς τῷ γεγενῆσθαι τὴν τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας καταπέμψῃ πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ἡμᾶς, πρὸς θεῶν, ὦ ἄνδρες; τί ἐροῦμεν; γράψεις σύ, Δημόσθενες, πολεμεῖν ἡμᾶς, 69.
ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους καλῶς διῴκησας; καὶ πότερόν ἐςι δικαιότερον, ἂν ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημάτων ἕκαςον εἰσφέρειν καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν καὶ τὰ ἐκπώματα καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα σὺ γράψειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄςει; τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενηνοχὼς εἴκοσι τάλαντα ἔχεις. ἢ πολε- 70.
μεῖν μὲν οὐ γράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ ψήφισμα κελεύεις Ἀλεξάνδρῳ τὸ κεκομισμένον χρυσίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεήσει. καὶ ποῦ τοῦτ' ἐςὶ δίκαιον ἢ κοινὸν ἢ δημοτικόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ

---

§. 68, 4. τῷ] τὸ pr. A BLZM. Reiskius pro πρὸς τῷ γεγενῆσθαι conjecit πρὸς τὸ γενέσθαι. 5. καταπέμψῃ] καταπέμψει pr. A L. ἡμᾶς] ὑμᾶς N. 6. ἀνακεκομισμένους] ἀνακεκοσμιμένους (σ superscr.) M. 7. ἡμᾶς Bait. et Spp. ὑμᾶς vulg.

§. 69, 1. γράψεις Wolfius, Stephanus, Reisk. et recc. edd. γράφεις ceteri. 3. δόξῃ] Reiskius vol. 8. p. 455. addi jussit τούτοις (ν superscr.). 6. ἕκαςον] ἕκαςος L. ἕκαςος Ald. 9. γράψειν Wolfius, Stephanus, Reisk. et recc. edd. γράφειν ceteri. 10. οἰκίας] οἰκείας (η superscr.) pr. A. 11. καὶ τῆς] καὶ τοῖς M. καὶ τοῖς Ald.

§. 70, 3. κελεύεις] κελεύσεις Steph. Reisk. Bekk. Dobs. Bait. et Spp. 6. τοὺς μὲν — εἰσφέρειν in marg. hab. M.

ἁρπάζειν καὶ κλέπτειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν οὐσίαν καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκατὸν τάλαντα τὰ μὲν ἐκ τῶν βασιλικῶν τὰ δὲ ἐκ τῶν Ἀλεξάνδρου χρημάτων εἰληφέναι, μηδὲν δὲ φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον ὡς οὐ πιστεύοντα
71. τοῖς ἑαυτῷ πεπολιτευμένοις; καὶ τοὺς μὲν νόμους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμενον οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν πατρῴαν γῆν πεπρακέναι, τοὺς δὲ οὐ γεγεννημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ τοὺς νόμους τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γινομένων ὅρκων, ἐπιτάττειν δὲ τοῖς ἄλλοις στρατεύεσθαι λιπόντα αὐτὸν τὴν κοινὴν τάξιν.
72. Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν εὖ τοτὲ δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας. ἐπιβλέψατε δὲ ἐπὶ τὴν Θηβαίων πόλιν. * πότ' * ἐγένετο [πόλις

---

7. καὶ κλέπτειν add. N. Cf. §. 77. Lys. in Philocr. 13. Isocrat. Panath. 141. 9. πλείω] πλεῖον N. Cf. Benseler ad Isocr. Areop. p. 238. 10. χρημάτων conj. Wolf. πραγμάτων vulg. Utrumque in codd. nonnumquam confusum est: cf. Dem. Ol. I. 1. Phil. I. 41. IV. 22. 11. εἰληφέναι NABLZ Bekk. et recc. edd. εἰληφότα cett. δὲ add. NAB Bekk. et recc. edd. 12. ὡς om. ZM. 13. πεπολιτευμένοις N. Aut πεπολιτευμένοις aut συμπολιτευομένοις conj. Schm. πολιτευομένοις vulg.

§. 71, 2. καὶ τῷ] τῷ om. Z. Post στρατηγῷ Reiskius interponendum censet τῷ. οὖντι 3. ἀξιοῦντι] ἀξιοῦσθαι M. 4. ἐντὸς] ἐν τοῖς BLZM. ὅρων] ὅροις ZM. 5. πίστεις] ψήφους Z. 8. παρὰ] κατὰ N. παρὰ corr. N. 9. τοῖς add. NABLZM Bekk. et recc. edd.

§. 72, 1. τοτὲ — τοτὲ] ποτὲ — ποτὲ Z. 2. εὑρήσετε] εὑρήσητε BLZM Ald. πλὴν] ἢ ZM. 4. δὲ N. γὰρ vulg. Cf. Har-

ἐγένετο] μεγίστη, καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν; ἅπαντες ἂν ὁμολογήσαιεν οἱ πρεσβύτεροι, παρ' 73.
ὧνπερ κἀγὼ τοὺς λόγους ἀκούων ἐρῶ, ὅτε Πελοπίδας, ὥς φασιν, ἡγεῖτο τοῦ ἱεροῦ λόχου καὶ Ἐπαμινώνδας ἐστρατήγει καὶ οἱ μετὰ τούτων· τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον νομιζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ' ἐκείνους τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα, Μεσσήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας αὐτονόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν. πότε δ' αὖ τοὐναντίον ταπεινὰ καὶ τοῦ 74.
φρονήματος ἀνάξια διεπράξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων χρήματα παρὰ Φιλίππου Τιμόλαος ὁ τούτου φίλος, ἐπὶ δὲ τοῖς ξένοις τοῖς εἰς Ἄμφισσαν συλ-

tung. Partikeln d. gr. Spr. I. p. 167. πόλιν. † πότ' * ἐγένετο [πόλις, ἐγένετο] μεγ. κτλ. Ita edidi pro vulg. πόλιν. ἐγένετο πόλις, ἐγένετο μεγίστη, καὶ τίνων κτλ. πόλιν, πότε ἐγένετο πόλις; πότε ἐγένετο μεγίστη; καὶ τίνων τυχ. κτλ. Stephanus. πόλιν, πότ' ἐγένετο μ. κτλ. Dobreus. πότ' commendant vv. opposita §. 74. πότε δ' αὖ et ea, quae in responsione leguntur §. 73. ὅτε — τότε. Verba πόλις ἐγένετο e male repetitis πότ' ἐγένετο orta sunt: neque enim poterat iterari ἐγένετο in quo minime h. l. vis atque gravitas residet orationis. 5. Pro τίνων ante Bekk. (qui de codd. tacet) erat τινων. (τίνων est in A) 6. ἂν NAB Bekk. et recc. edd. γὰρ ceteri: ἂν post ὁμολογήσαιεν addi voluerat Reisk. οἱ addendum censuerunt Reisk. Bekk. Wurm. recep. Dobs. Bait. et Spp.

§. 73, 3. λόχου] hoc v. a corr. hab. A. Ἐπαμινώνδας NZM Bait. et Spp. ἐπαμινώνδας A. Ἐπαμεινώνδας ceteri. 4. καὶ οἱ μετὰ τούτων om. ZM. 6. εἶναι] πόλιν εἶναι pr. M. χώραν om. pr. M. 8. Μεσσήνην] Μεσήνην NABLZM Ald. Cf. ann. ad Lycurg. 62. Lobeck. Paralipom. p. 116. κατῴκισαν] κατώκησαν pr. A.

§. 74, 1. τοῦ φρονήματος] τοῦ ἑαυτῶν v. προτέρου φρονήματος malebat Reisk. 3. παρὰ Φιλ. NA Bekk. Bait. et Spp. παρὰ τοῦ Φιλ. ceteri. Cf. §. 28. τούτου NA Bekk. et recc. edd. et conjecerat Wolf. τούτων cett. 4. Ἄμφισσαν] ἄμφισαν NABLZM Ald. συλλεγεῖσι] ξυλλεγεῖσι ZM.

λεγεῖσι Πρόξενος ὁ προδότης ἐγένετο, ἡγεμὼν δὲ τῆς
φάλαγγος κατέςη Θεαγένης, ἄνθρωπος ἀτυχὴς καὶ δω-
ροδόκος ὥσπερ οὗτος. τότε διὰ τρεῖς γε ἀνθρώπους
οὓς εἶπον ἅπασα ἡ πόλις μετὰ τῶν ἄλλων Ἑλλήνων
ἁπάντων ἀπώλετο καὶ συνδιεφθάρη. οὐ γὰρ ψεῦδός
ἐςιν ἀλλὰ καὶ λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους
ἁπάντων γίνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων
75. τοῖς πολίταις. θεωρήσατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμε-
τέρας πόλεως, τὸν αὐτὸν τρόπον ἐξετάσαντες. ἡ πό-
λις ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι
καὶ τῶν προγόνων ἀξία, μετά γε τὰς ἀρχαίας ἐκείνας
πράξεις, ὅτε Κόνων, ὡς οἱ πρεσβύτεροι λέγουσιν, ἐνί-
κησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης ἀνεῖλε
τὴν Λακεδαιμονίων μόραν, ὅτε Χαβρίας ἐν Νάξῳ
κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις, ὅτε Τι-
76. μόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε. τότε, ὦ
Ἀθηναῖοι, τότε οἱ μὲν πρότερον ὄντες λαμπροὶ διὰ
τοὺς ἡγεμόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς ἐκείνων

§. 74, 5. ἡγεμὼν δὲ NABLZM Bekk. et recc. edd. ὅ θ' ἡγε-μὼν conj. Wolf. ἡγεμὼν cett. 6. κατέςη AB Bekk. et recc. edd. κατεςάθη ceteri. Θεαγένης] ἀγένης LZM. Θεογένης Harpocrat. v. Θεογείτων. conf. Phot. lex. v. Θεογείτων. Lobeck. ad Phrynich. p. 653. Boeckh. ad schol. Pind. p. 442. Goeller. ad Thucyd. 4, 27. 7. διὰ om. Z. 8. ἄλλων add. N. Conf. Dem. de Chers. 49. in Phil. IV. 25. de cor. 18. 194. 9. ἁπάντων om. N. συνδιεφθάρη] διεφθάρη pr. A Bekk. Bait. et Spp. ψεῦδός ἐςιν] ψεῦδος ἐςὶν Ald. Steph. Wech. 10. ἀλλὰ — ἀληθὲς in marg. hab. M. 11. ἁπάντων om. pr. M.

§. 75, 4. γε] τε ZM. 7. μόραν Wolfius, Scaliger, Reisk, Bekk. Bait. et Saupp. μοῖραν ceteri. Non raro haec a librariis confusa sunt: cf. Wurm. p. 134. Χαβρίας] χαυρίας A., λαβρίας Ald. 8. Λακεδαιμονίων] Ἀθηναίων ZM. 9. τὴν om. ZM. Post τὴν lacuna 2 lit. cap. in A.

§. 76, 3. καὶ ὑπὸ τ. ἐκ. ἠθ. τραφέντες] καὶ οἱ τοῖς ἐκ. ἤθεσιν ἐντραφέντες conj. Reisk. Tu conf. Isocr. de big. 28. Matth. gr. gr. §. 395. not.

ἤθεσι τραφέντες ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἧκον,
δεόμενοι τῆς παρὰ τῶν ἡμετέρων προγόνων σωτηρίας,
ὁ δὲ καταλυθεὶς ὑπ᾿ ἐκείνων δῆμος διὰ τοὺς τότε γε-
νομένους παρ᾿ ὑμῖν συμβούλους πάλιν ἡγεμὼν ἦν τῶν
Ἑλλήνων, δικαίως, οἶμαι, ςρατηγῶν μὲν τοιούτων τε-
τυχηκὼς οἵων εἶπον ἀρτίως, συμβούλους δ᾿ ἔχων Ἀρ-
χῖνον καὶ Κέφαλον τὸν Κολλυτέα. μία γὰρ αὕτη σω-
τηρία καὶ πόλεως καὶ ἔθνους ἐστί, τὸ προςατῶν ἀν-
δρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν. διό- 77.
περ, ὦ Ἀθηναῖοι, δεῖ ταῦθ᾿ ὑμᾶς ὁρῶντας καὶ λογι-
ζομένους μὴ μὰ Δία τὸν πλείω χρόνον τῆς Δημοσθέ-
νους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ᾿ ἐν τούτῳ
τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορή-
σειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ
τὴν τῶν προγόνων λαβόντας ὀργὴν τὸν ἐπ᾿ αὐτοφώρῳ
κλέπτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον
τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς
τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν
τῆς Ἑλλάδος ἀλιτήριον ἀποκτείναντας δεῖ ἐξόριςον ἐκ

---

§. 76, 4. ἧκον] ἧκοι N. 5. δεόμενοι] δεόμενος (οι) M. τῆς] ταῖς pr. A. ἡμετέρων προγόνων N. προγόνων ἡμῶν vulg. 7. ὑμῖν] ἡμῖν susp. Sauppius. 10. Κολλυτέα Bait. et Spp. κοττυλέα ABL. κοτυλλέα ZM. Κολυττέα vulg. In inscriptionibus semper est Κολλυτὸς et Κολλυτεύς: conf. Bait. et Spp. ad Lys. 32. §. 14. Osann. Syll. Inser. I, p. 108. Grotefend. de demis Atticis p. 26. Libri in hoc nomine scribendo minime sibi constant: conf. vel Suid. vv. Κολυτεύς et Κωλυπεύς. Quamquam non semel codices praebent veram scripturam: cf. Dem. de cor. 180. in Timocr. 134. adv. Pant. 4. Westerm. in ann. cr. ad vitt. X orr. p. 82.

§. 77, 3. τὸν πλ. χρ.] τὸν vel delendum esse, vel legendum μὰ τὸν Δία πλείω censet Sauppius. Tu cf. Aristoph. Ran. 160. ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον. Sophocl. Trach. 733. σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον. 7. αὐτοφώρῳ] αὐτοφόρῳ Ald. 10. ἐμβεβληκότα NAB Reisk. et recc. edd. ἐμβεβλημένον cett. τὴν om. LZ pr. M. 11. ἀλιτήριον N Bekk. et recc. edd. ἀλιτήριον AB

τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομένων βέλτιον πράξειν.

78. *Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν μαντείαν πρῶτον.*

ΜΑΝΤΕΙΑ.

79. *Λέγε δὴ τὸ καλὸν ψήφισμα τούτου.*

Dobs. *ὄλεθρον* ceteri: in LZ lacuna est. *ἀποκτείναντας* exterminandum censet Dobreus. *δεῖ* add. N et pr. A. (ut vid. Dobs.) 12. *μεταβαλέσθαι*] *μεταβαλλέσθαι* N. *μεταβάλλεσθαι* pr. A. 14. *πράξειν*] *πρᾶξαι* (*ειν* superscr.) M.

§. 78, 2. *ὃ*] *ὅτε* NLZM et pr. A. 7. *μαντείαν* NABLZM Wolfius, Gruter. Bekk. et recc. edd. *μαρτυρίαν* ceteri. *ΜΑΝΤΕΙΑ* NAZM Bekk. et recc. edd. *Μαρτυρία* ceteri: om. BL.

§. 79, 1. *τούτου*] *τὸ τούτου* malit Reisk. recep. Bait. et Spp. Non necessaria est haec emendatio: cf. nost. 92. *τοὺς φενακισμοὺς τούτου.* Dem. Phil. I. 3. *τῇ νῦν ὕβρει τούτου.* de cor. 253. *περὶ τῆς τύχης τούτου.* in Mid. 80. *τὰ μὲν δὴ τότε ὑβρίσματα τούτων!* ib. 158. *αἱ λειτουργίαι καὶ τὰ σεμνὰ ἀναλώματα τούτου* (sic vett. edd. et codd. *ΦΠΣΥΩ* stv Buttm. prob. Schaef. *τὰ τούτου* cett.). adv. Timoth. 62. *ὁ ἀκόλουθος τούτου* (ubi Dind. inseruit artic.!). adv. Callipp. 22. *οἱ οἰκεῖοι τούτου.* adv. Nicostr. 7. *τὸν Δείνωνα τὸν ἀδελφὸν τούτου:* atque ib. 6. *Δείνων ὁ ἀδελφὸς τούτου* (sic vett. edd. et codd. *ΦΣΦ* prob. Schaef. *ὁ τούτου* ceteri). in Con. 2. *οὐκ ἐλάττων ἡ μετὰ ταῦτ᾽ ἀσέλγειά ἐστι τουτουΐ.*

ΨΗΦΙΣΜΑ.

Δημοτικός γ' ὁ διατάττων ἑαυτὸν μὲν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ' ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. Λέγε τὰ λοιπά.

ΨΗΦΙΣΜΑ.

Ἀκούετε, ἄνδρες δικασταί. ἀπιέναι φησὶ τὸ ψή- 80.
φισμα τὰς ᾑρημένας πρεσβείας, ἐπειδὴ ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδραίη, συσκευασάμενος τῆς διοικήσεως ὀκτὼ τάλαντα, οὐδὲν φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων ἐπεδίδοσαν εἰς τὴν ὑμετέραν σω-
τηρίαν. τοιοῦτος ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας 81.

---

§. 79, 2. *ΨΗΦΙΣΜΑ* NAZ et marg. M. Bait. et Spp., om. BL. *ψηφίσματος μέρος* cett. 3. *γ' ὁ* N. Dobs. *γε ὁ* Bekk. et recc. edd. Cf. Dem. Phil. III. 66. 5. *αὐτὸς*] *οὗτος* N. *ἀποδοκιμάσῃ*] *ἀποδοκιμάσει* N. *τὰ ἔργα*] Articulum om. N. 6. *τούτῳ* om. pr. M. 8. *ΨΗΦΙΣΜΑ* N. Bait. et Spp. *μαρτυρία* A, om. BLZ M (in lacuna). Cf. Dem. adv. Pantaen. 22. coll. 25. 27. 28. 29. 32. in Dionysod. 36. coll. 38.

§. 80, 1. *ἄνδρ. δικ.* N. *ὦ ἄνδρ. δικ.* vulg. Conf. §. 47. 48. *τὸ ψήφισμα* malit abesse Bekk. 2. *ἡρημένας* Wolfius, Bekk. Bait. et Spp. *ᾑρημένας* N. *εἰρημένας* ceteri. Quae confusio non infrequens: vid. Vitt. X. orr. p. 833. f. Andocid. de myst. 150. Dem. de Rhod. lib. 18. *ἐπειδὴ*] *ἐπειδὴ δ'* conj. Wolf. *ἐπειδὴ γὰρ* conj. Reisk. *ἐπεὶ δὴ* malit Schm. Equidem *ἐπειδὴ δὲ* legendum puto atque post *τάλαντα* excidisse v. *ᾤχετο*. cf. §. sq. 3.
ἣν
τὴν ἐν] *τῶν ἐν* M. 6. *τῆς διοικήσεως*] *ἐκ τῆς διοικ.* Wurm. *οὐδὲν* N Wolfius, Reisk. et recc. edd. *οὐδὲ* ceteri. 8. *ὑμετέραν* ABLZM Bekk. et recc. edd. *ἡμετέραν* ceteri.

μόνας ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας,
μετὰ τὴν μάχην ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ
νῦν εἰς Ὀλυμπίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας
ἐντυχεῖν ἐβούλετο. ἄξιόν γε τούτῳ παρακαταθέσθαι
τὴν πόλιν, καὶ ἐπιτρέψαι κινδυνεύειν μέλλοντας, ὃς ὅτε
μὲν ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις,
λιπὼν τὴν τάξιν ᾤχετο ἀπιὼν οἴκαδε, ἐπειδὴ δὲ προσῆ-
κεν οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐ-
τὸς αὑτὸν προβαλόμενος ᾤχετο ἐκ τῆς πόλεως ἀπο-
82. δράς, ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ τῆς εἰρήνης, οὐκ
ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν ἕτερον
πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν
κατάγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν, ἀρχιθεω-
ρὸν αὑτὸν ἀπέδωκε τῇ βουλῇ. τοιοῦτος οὗτος, ἐν μὲν
ταῖς παρατάξεσιν οἰκουρός, ἐν δὲ τοῖς οἴκοι μένουσι
πρεσβευτής, ἐν δὲ τοῖς πρεσβευταῖς δραπέτης ἐστίν.

Λέγε δὴ * καὶ τὸ περὶ ζητήσεως τῶν χρημάτων

---

§. 81, 2. ἐν τῷ βίῳ] Haud scio an haec verba a librario imperito obtrusa sint Dinarcho: quibus sublatis, comma quoque post ἀποδημίας delendum et post μάχην ponendum. Δημοσθένης in marg. hab. M. 3. μετὰ] κατὰ vett. edd. sed μετὰ rescribendum viderunt Wolf. Gruter. κατὰ [μετ] M. 4. Ὀλυμπίαν] ὀλυμπίας pr. M. ἐπεὶ] ἐπὶ NLZM. 6. ἐπιτρέψαι] ἐπιτρέψειν N. 10. προβαλόμενος NB et corr. A, Bekk. et recc. edd. et conjecerat Reisk. προβαλλόμενος ceteri.

§. 82, 1. τῆς om. L et vett. edd. 2. ἐξελθεῖν] ἀποεξελθεῖν M. 3. ἐπειδὴ δὲ] ἐπεὶ δὲ N. δὲ om. M. Ἀλέξανδρον] Ἀλέξανδρος vett. edd., corr. Wolf. 4. κατάγειν A hab. a corr. ἀρχιθεωρὸν] ἀρχιθέωρον vulg. ante Bekk. 5. ἀπέδωκε] ἐπέδωκε Scalig. prob. Reisk. et recep. Bait. et Spp. coll. Boeckh. Corp. Inscr. 2335, 54. 2058. B. 27. Fort. ἀπέδειξε. βουλῇ] βουβῇ Ald. 6. οἰκουρός et 7. δραπέτης. Haec transponi jussit Sauppius ad h. l. et Epist. crit. p. 120. οἴκοι] οἴκει [οι] M. 7. ἐστίν] ἐστὶ vett. edd. 8. * Hoc loco nonnulla verba excidisse videntur. V. Comm. nostr.

ψήφισμα, ὃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὐτοῦ τε καὶ ὑμῶν, ἵνα παρ' ἄλληλα θεωρήσαντες εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν.

ΨΗΦΙΣΜΑ.

Ἔγραψας σὺ τοῦτο, Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντειπεῖν. ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος; ἐγένετο. τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν. 83.

Λέγε δὴ πάλιν ὃ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. προσέχετε, ὦ ἄνδρες.

ΨΗΦΙΣΜΑ.

Ἡ βουλὴ εὕρηκε Δημοσθένην. τί δεῖ πολλῶν λόγων; ἀποπέφαγκεν, ὦ Ἀθηναῖοι. τὸ μὲν τοίνυν δίκαιον ἦν ὑφ' ἑαυτοῦ κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δὲ εἰς τὰς ὑμετέρας ἥκει χεῖρας τῶν ὑπὲρ τοῦ 84.

---

§. 82, 9. ἔγραψε — ἐξ Ἀρείου] ἔγραψεν ὁ δημοσθένης τῇ ἐκ τοῦ ἀρείου ZM. 10. βουλῇ sup. lin. hab. pr. M. αὐτοῦ] αὑτοῦ Ald. ὑμῶν N, corr. A, Dobs. et conjec. Wolf. ἡμῶν vulg. παρ' ἄλληλα] παράλληλα vett. edd.

§. 83, 1. Δημοσθένης; ἔγραψας·] Δημοσθένης, ἔγραψας; Ald. Steph. Wech. sed pravam interpunctionem sustulit mg. Steph. et Gruter. annot. 2. σοῦ om. LZM et vett. edd. 7. ὦ om. N. Sed-conf. §. 5. 26. 37. 43. 46. 50. 55. 57. 68. 83. 91. III. 5. 9. ΨΗΦΙΣΜΑ. add. NA Bekk. et recc. edd.

§. 84, 1. Ἡ βουλὴ add. NA Bekk. et recc. edd. εὕρηκε] ᾕρηκε Wurm. Reiskius post λόγων interponi jusserat αὐτὸς ἑαυτόν. 3. ἀποθνήσκειν] ἀποθνήκειν Ald. 4. δὲ εἰς N. δ' εἰς vulg. ὑμετέρας] ἡμετέρας vett. edd. sed correx. Scaliger. Wolf. Steph. τῶν — συνειλεγμένων καὶ τῶν ὀμωμοκότων] τοὺς — συνειλεγμένων καὶ τοὺς ὀμωμοκότας vett. edd.. τοὺς — συνειλεγμένους καὶ τοὺς ὀμωμοκότας cett. τῶν — συνειλεγμένων κτλ. aut τοὺς — συνειλεγμένους κτλ. scribendum censuerant Wolf. Steph. Gruter. Ge-

δήμου συνειλεγμένων καὶ τῶν ὀμωμοκότων πείθεσθαι
τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασι, τί ποιή-
σετε; προήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ
85. τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα; μή,
ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δεινὸν ἑτέρους μὲν
ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων, οὐδὲν ὄντας τού-
του χείρους οὐδὲ τοσαῦτ' ἠδικηκότας ὅσαπερ οὗτος,
ἀπολωλέναι, τουτονὶ δὲ καταφρονοῦντα ὑμῶν καὶ τῶν
νόμων ἀτιμώρητον ἐν τῇ πόλει περιμέναι, αὐτὸν ὑφ'
ἑαυτοῦ καὶ τῶν ψηφισμάτων ὧν ἔγραψεν ἑαλωκότα.
ταὐτὸ συνέδριον, ὦ Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ
86. ταὐτὰ δίκαια . . . . ὁ αὐτὸς ῥήτωρ ἐκείνοις τε αἴτιος
ἐγένετο τῶν συμβάντων κακῶν καὶ αὐτῷ τῶν νῦν συμ-
βησομένων. ἐπέτρεψεν ὁ αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ
συνεδρίῳ τούτῳ κρῖναι περὶ αὐτοῦ, μάρτυρας ὑμᾶς πε-
ποιημένος. ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας
τὸ ψήφισμα καθ' ἑαυτοῦ, παρὰ τὴν μητέρα τῶν θεῶν,
ἣ πάντων τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ

---

nitivum praetulit Wurm. Cf. §. 9. 5. πείθεσθαι] πεισθήσεσθαι malit Wurm. πείσεσθαι suspic. Baiterus. 6. νόμοις] λόγοις (νόμοις) M. 7. θεοὺς in rasura 10 lit capace, corr. a pr. A.

§. 85, 5. ὑμῶν] ἡμῶν vett. edd. quod correx Wolf. et Steph. 6. ἀτιμώρητον] ἀτιμώριτον Ald. ἐν τ. π. περιμέναι N. περιμέναι ἐν τ. π. vulg. 8. ταὐτὸ malit Dobr. et recep. Bait. et Spp. τουτὶ τὸ cett. ὁ αὐτὸς] οὗτος ὁ malit Schm. 9. ταὐτὰ malebant Wolfius, Reisk. Dobr. Wurm. et recep. Bait. et Saupp. ταὐτὰ τὰ A Dobs. ταῦτ' αὐτὰ τὰ B. ταῦτα τὰ cett. Lacunae notas post δίκαια ego interposui: vulgo majorem distinctionis notam inferunt.

§. 86, 1. ὁ αὐτὸς] καὶ ὁ αὐτὸς conj. Reisk. Dobr. τε om. N. τὲ Ald. 2. αὐτῷ τῶν NAB Wolfius, Reisk. et recc. edd. αὐτῶν LZM. αὖ τῶν vett. edd. 4. τούτῳ] τοῦτον M. αὐτοῦ], αὑτοῦ Ald. 5. μετὰ] κατὰ (με) M. 6. παρὰ τὴν μητέρα] παρὰ τῇ μητρὶ Reisk. τὸ παρὰ τῇ μητρὶ Dobr. 7. φύλαξ τῇ πόλει] τῇ

πόλει καθέςηκε. διὸ καὶ οὐχ ὅσιον ὑμῖν ἐςὶ ταύτας
ἀκύρους ποιεῖν, οὐδὲ τοὺς θεοὺς ὀμωμοκόσι περὶ ταύ-
της τῆς κρίσεως ταῖς αὐτῶν τῶν θεῶν πράξεσιν ἐναν-
τίαν τὴν ψῆφον ἐνεγκεῖν. κρίσει Ποσειδῶν ἀποτυχὼν 87.
τῇ ὑπὲρ Ἁλιῤῥοθίου πρὸς Ἄρη γενομένῃ ἐνέμεινεν·
αὐταὶ αἱ σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέςην ἐν τούτῳ τῷ
συνεδρίῳ κρίσει γενομένῃ καὶ τῇ τούτου ἀληθείᾳ συν-
οίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον κατέςησαν. ὑμεῖς
δὲ τί ποιήσετε οἱ πάντων εἶναι φάσκοντες εὐσεβέςα-
τοι; τὴν τοῦ συνεδρίου γνῶσιν ἄκυρον καταςήσετε τῇ
Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; οὔκ, ἐὰν σω-
φρονῆτε, ὦ Ἀθηναῖοι· οὐ γὰρ περὶ μικρῶν οὐδὲ τῶν 88.
τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ
σωτηρίας τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ
δωροδοκίας, ἔθους πονηροῦ καὶ πράγματος ἀλυσιτε-
λοῦς ὑμῖν καὶ πάντας ἀνθρώπους ἀπολωλεκότος. εἰ
μὲν καθ' ὅσον ἐςὲ δυνατοὶ ἐκβαλεῖτε ἐκ τῆς πόλεως
καὶ παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβά-

πόλει φύλαξ Z. articulum om. pr. A. φύλαξ[β] τῇ[α] πόλει M. τῇ πόλει hab. sup. lin. A.

§. 87, 2. τῇ — γενομένῃ (τοῖς — γενομένοις hab. corr. A.) malebat Bekk. recep. Bait. et Spp. τῆς — γενομένης N. τοῖς — γενομένοις vulg. Aut τῆς — γενομένης legendum aut post ἀποτυχὼν interpungendum censet Stephanus. 3. αὐταὶ] αὗται pr. A. σεμναὶ om. ZM. 4. Post γενομένῃ Reisk. Cur. post. p. 455. et Bekk. in Addend. ἐνέμειναν jubent inseri: Sauppius, si opus sit, facilius addi putat post ἐνέμεινεν: cujus equidem amplector sententiam. 6. εὐσεβέςατοι N. εὐσεβέςεροι vulg. 7. γνῶσιν N. γνώμην vulg. Non semel haec confusa sunt in libris mss. Cf. Dem. in Timocr. §. 78. καταςήσετε] κατεςήσατε pr. A. τῇ] τῇ τοῦ ZM. 8. οὔκ Schm. Bait. et Spp. οὐκ ceteri. Comma post οὐκ om. Bekk. sicut Ald. 9. Ἀθηναῖοι NAB Bait. et Spp. ἄνδρες Ἀθηναῖοι cett. Cf. §. 1. 2. 3. 14. 22 28. 40. 53. 66. sq.

§. 88, 5. ὑμῖν add. NABLZM Bekk. et recc. edd. εἰ μὲν] ὃ εἰ μὲν malebat Reisk. 6. καθ' ὅσον] καθόσον vett. edd. 7. ῥᾳδίως om. pr. M.

νοντας, σωθησόμεθα θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων.

89. Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα. οὕτως οὖν, ὦ ἄριςε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἰδίᾳ, ἕτερος δὲ πεντεκαίδεκα, Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ ςατῆρας, ἕτεροι δὲ ὅσα δή ποτε ἀποπεφασμένοι εἰσί; τέτταρα γὰρ τάλαντά ἐςι καὶ ἑξήκοντα ἤδη εὑρημένα,

90. ὧν οἴεσθε τὴν αἰτίαν τουτοισὶν ἀναθεῖναι. καὶ πότερα κάλλιόν ἐςι, πρὸς δὲ δικαιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν τι δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν ςρατηγῶν ἐνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν παρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον, τὸ δὲ τούτους ἔχειν μηδένα ἂν εἰπεῖν ὡς ἔςι καλῶς ἔχον.

91. Πολλοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, ὦ

---

§ 88, 9. ὑμᾶς] ἡμᾶς N. αὐτοὺς] αὐτοὺς (ἡν) M.

§. 89, 3. μετὰ Ἁρπάλου om. pr. M. 4. ὦ add. NABLZM Ald. Bekk. et recc. edd. φυλάξομεν] φυλάξωμεν N. 5. ἰδίᾳ scripsi cum Wurm. atque Bait. et Spp. coll. §. 93. ἴδια vulg. 6. Δημάδης] δημώδης Z. χρυσοῦ] χρυσοῦς ZM. 7. ἀποπεφασμένοι] ἀποφασμένος Ald. τέτταρα] τετρακόσια N pr. A. 9. οἴεσθε] οἷόν τ' ἔςαι suspic. Saupp. coll. §. 93. 113. δεῖν addi vult Reisk. τουτοισὶν] τούτοισιν L. ἀναθεῖναι] ἂν ἀναθεῖναι Wurm.

§. 90, 2. πρὸς δὲ] καὶ addendum esse censet Reisk., quod Atticorum usus videtur efflagitare. 3. ἄν τι] ἄν τὶ malint scribi Reisk. et Schm. 5. ἐν τῷ] αὐτῷ Z. 7. μηδένα N. μηδὲν vett. edd. μηδέντι propos. Wolf. μηδέν' aut μηδένα Steph. Grut. μηδέν' Reisk. Bekk., qui codicum non facit mentionem (μηδέν' A.), Schm. Bait. et Spp.

§. 91, 1. οὗτος] οὕτως LZM. ἐρεῖ καὶ — οὐδέποτε recte

ἄνδρες, καὶ οὐδέποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ ὑμᾶς τὸν
ἅπαντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξη-
πατημένους ὑφ' ἑαυτοῦ, καὶ μέχρι τούτου μνημονεύον-
τας τὰς ὑποσχέσεις μέχρις ἂν ῥηθῶσιν. εἰ μὲν οὖν
ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυ-
χίας ἀπολαύειν, ἵνα πλείω κακοδαιμονῶμεν (οὐ γὰρ
ἔχω τί ἄλλο εἴπω), ςερκτέον εἴη τοῖς συμβαίνουσιν·
εἰ δ' ἔτι κηδόμεθα τῆς πατρίδος καὶ τοὺς πονηροὺς 92.
καὶ δωροδόκους μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύ-
χην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ προετέον ἐςὶν
ὑμᾶς αὐτούς, ὦ Ἀθηναῖοι, ταῖς τοῦ μιαροῦ καὶ γόη-
τος τούτου δεήσεσιν, οὐδὲ προσδεκτέον τοὺς οἴκτους
καὶ τοὺς φεναχισμοὺς τούτου· ἱκανὴν γὰρ εἰλήφατε
πεῖραν αὐτοῦ καὶ τῶν λόγων καὶ τῶν ἔργων καὶ τῆς
τύχης. τίς οὕτως εὐέλπις ὑμῶν ἐςίν, ὦ Ἀθηναῖοι, τίς 93.
οὕτως ἀλόγιςος, τίς * οὕτω * τῶν προγεγενημένων καὶ

Wurmius atque Bait. et Spp.: vel εἴρηκε καὶ — οὐδὲ πώποτε vel οὐδέποτε legi vult Dobreus. ἐρεῖ καὶ — οὐδὲ πώποτε vulg. 3. ἅπαντα] πάντα N. 4. τούτου] καὶ add. N. 7. πλείω N. πλέον vulg. Cf. Benseler. ad Isocr. Areop. p. 238. οὐ N. οὐδὲ vulg. Cf. Hartung. Partikeln I. p. 211. 8. εἴη] ἂν εἴη malit Bekk. εἴη malit ejectum Baiterus. Cf. ann. ad §. 50.

§. 92, 1. δ' ἔτι] δέ τι suspic. Baiterus. 2. μισοῦμεν] μισοῦ-θεν Ald. (non μιμοῦμεν, ut Reisk. contendit.) 3. βουλόμεθα] βουλόμεθα δυνησόμεθα M. προετέον Wolfius, Bekk. et recc. edd. προσεκτέον ceteri, quod defendit Wurm. προσεκτέον deleto αὐτούς, aut προετέον legendum existimat Reisk. προσεκτέον ἐπὶ ὑμᾶς suspic. Baiterus. 5. προσδεκτέον NAB Bekk. et recc. edd. προσεκτέον LZ. προσετέον vett. edd. προσετέον Wolfius, Reisk. 6. τούτου] τοὺς τούτου Bait. et Spp. coll. §. 111. Vide §. 79. 7. καὶ τῶν λόγων καὶ τῶν ἔργων N. Conf. §. 17. 32. et 102. atque hic ordo tantum non legitimus est. καὶ τῶν ἔργων καὶ τῶν λόγων vulg.

§. 93, 1. ὑμῶν ἐςὶν NAB Bekk. et recc. edd. ἐςὶν ὑμῶν ceteri. 2. οὕτως] οὗτος pr. A. οὕτω post τίς ego inserui. Conf. var. script. Dem. in Mid. 66.

νῦν ἐνεστηκότων πραγμάτων ἄπειρος, ὅστις ἐλπίζει τὸν
ἐκ τοσαύτης εὐδαιμονίας εἰς τοσαύτην ἀδοξίαν κατα-
στήσαντα τὴν πόλιν δι' ἡντιναδήποτε αἰτίαν ἢ τύχην
(ἐῶ γὰρ τοῦτο νῦν), ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπο-
ρίαις καὶ τοῖς περιεστηκόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν
ἐξ αὐτῆς τῆς πόλεως δωροδοκία προσγέγονε, καὶ περὶ
αἰσχρᾶς αἰτίας κοινῇ πάντες ἀγωνιζόμεθα καὶ περὶ τοῦ
μὴ δοκεῖν τὰ ἰδίᾳ παρά τισιν ὄντα χρήματα κοινῇ
τὸν δῆμον ἔχειν, τηνικαῦτα συμβουλεύοντα καὶ διοι-
94. κοῦντα τοῦτον σώσειν ἡμᾶς; ἐῶ γὰρ τἄλλα ὅσα μετα-
βαλλόμενος ἐν τοῖς πράγμασι καὶ δημηγορῶν οὐδὲν
ὑγιὲς διατετέλεκε, καὶ τοτὲ μὲν γράφων καὶ ἀπαγο-
ρεύων μηδένα νομίζειν ἄλλον θεὸν ἢ τοὺς παραδεδο-
μένους, τοτὲ δὲ λέγων ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβη-
τεῖν τῶν ἐν τῷ οὐρανῷ τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ
μέλλῃ κριθήσεσθαι παρ' ὑμῖν, Καλλιμέδοντα εἰσαγγέλ-
λων συνιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύ-
σει τοῦ δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν εὐθὺς πα-

---

§. 93, 3. ἄπειρος] οὕτως ἄπειρος malit Wolfius. ὅστις] τίς NABLZM. 5. ἡντιναδήποτε] ἥν τινα δήποτε Ald. ἢ τύχην] ἠτύχει Z. 6. τοῦτο νῦν] τοῦτό γε νῦν aut τοῦτό γε scribendum esse putat Wurm. coll. Dem. de cor. 21. 146. 261. Adde de f. leg. 94. Haud scio an recte. 7. κινδύνοις] κινδύοις Ald. 8. δωροδοκία προσγέγονε] δωροδοκίας γέγονεν Z. 10. ἰδίᾳ Bekk. et recc. edd. ἴδια ceteri, non item pr. A, sed corr. A. 11. διοικοῦντα NAB Bekk. et recc. edd. πολεμοῦντα ceteri. πολέμους διοικοῦντα conj. Wurm. 12. σώσειν] τώσειν Ald. ἡμᾶς] ὑμᾶς A Dobs.

§. 94, 3. διατετέλεκε N Bait et Saupp. et conj. Reisk. prob. Dobreus. τετέλεκε vulg. ἀπαγορεύων] ἐπαγορεύων Ald. 4. νομίζειν ἄλλον N. ἄλλον νομίζειν vulg. 6. τῷ add. N. τιμῶν] Hoc verbo se facile carere dicit Bekker.: τῶν ἴσων τοῖς ἐν οὐρανῷ suspic. Reisk. pro τῶν ἐν οὐρανῷ τιμῶν. Displicet οὐρανὸς Wurmio. 7. μέλλῃ] μέλλει pr. A. Καλλιμέδοντα] Καλλιμήδοντα Ald.
εἰσαγγέλλων
εἰσαγγέλλων] παρεισατων M.

ραχρῆμα ἀναιρούμενος, ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ τῇ 95.
πρώην γεγενημένῃ προσάγων καὶ κατασκευάζων ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων, καὶ περὶ τούτων γράφων μὲν οὐδὲν, αἰτίας δὲ ἕνεκα τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ ἁπάντων ὑμεῖς τούτῳ μάρτυρές ἐστε. γόης οὗτος, ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπός ἐστι, καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πεπολιτευμένοις αὐτῷ καὶ πεπραγμένοις. ποῖαι γὰρ τριήρεις εἰσὶ κατεσκευ- 96.
ασμέναι διὰ τοῦτον, ὥσπερ ἐπὶ Εὐβούλου, τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀνενήνεκται κόσμος τῇ θεῷ εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύακεν οἰκοδόμημα Δημοσθένης ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλλοθί που τῆς χώρας; οὐδεὶς ἂν οὐδαμοῦ δείξειεν.
ἔπειτα τὸν μὲν ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον 97.
γεγενημένον ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον, περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους

---

§. 95, 1. ἐν δὲ] ἐν δὴ N. 4. δὲ ἕνεκα N. δ' ἕνεκα vulg. 5. παρασκευάζων] κατασκευάζων M. 9. πεπραγμένοις NABLZM Bekk. et recc. edd. πεπραγματευμένοις ceteri.

§. 96, 1. τριήρεις] τριήρης N. 2. τοῦτον NAB Bekk. et recc. edd. τούτου ceteri. ἐπὶ Εὐβούλου] ἐπιβούλου ZM. ἐπὶ Βούλου pr. N. 7. ἀνενήνεκται Bekk. et recc. edd. ἀνήνεκται ceteri. κόσμος τῇ θεῷ N. τῇ θεῷ κόσμος vulg. εἰς] ἐς ZM. 8. κατεσκεύακεν οἰκοδόμημα Δημοσθένης N. κατεσκεύακε Δημοσθένης οἰκοδόμημα vulg. 10. ἂν Stephanus, prob. Reisk. recep. Bekk. et recc. edd. οὖν ceteri: servata οὖν particula δείξει ἂν praetulerit Schm.

§. 97, 1. πράξεσιν] τάξεσιν conj. Wolf. ἄπιστον — ἄχρηστον] „Transponenda fortasse ἄχρηστον — ἄπιστον" Bekk.

ἅπαντα διαπεπραγμένους ὅσα ἐβουλήθησαν, μεταβεβλημένον δὲ αὐτὸν καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις
98. ἐγκαταλελοιπότα, τοῦτον περιποιῆσαι βούλεσθε; οὔκ, ἐὰν σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξασθε τὴν ἀγαθὴν τύχην, ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὐτῶν δωροδοκίαν ταπεινὴν πεποιηκότας, καὶ φυλάξασθε (καθάπερ οἱ θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις) τοὺς τοιούτους ἡγεμόνας καὶ συμβούλους. ἀκούσατε δὲ αὐτῆς τῆς μαντείας. Λέγε τὴν μαντείαν.

ΜΑΝΤΕΙΑ.

99. Πῶς οὖν μίαν γνώμην ἕξομεν, ὦ Ἀθηναῖοι, πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προΐωνται τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὐ-

τοὺς

§. 97, 4. διαπεπραγμένους corr. A Wolfius, Reisk. et recc. edd. δὲ πεπραμένους L. δὲ πεπραγμένους ceteri. 6. βούλεσθε; κτλ.] βουλήσεσθε; οὐκ — ἀλλὰ δέξεσθε — καὶ φυλάξεσθε Dobr.

§. 98, 1. οὔκ, ἐὰν] οὐκ ἐὰν Bekk. οὐκ, ἐὰν Dobs. 3. βουλεύησθε] βουλεύεσθε N. 4. τιμωρήσασθαι] τιμωρήσησθε (αι suprascr.) M. παρέδωκε] Fort. addendum ὑμῖν. Cf. §. 64. II. 14. 5. αὐτῶν] αὑτῶν N. 8. αὐτῆς] αὖθις Gruterus, prob. Schm. Fort. ταύτης. 9. Λέγε NABLZM Bekk. et recc. edd. λέγε σὺ ceteri. μαντείαν] σημασίαν LZM.

§. 99, 2. ὁμονοήσομεν] ὁμονοήσωμεν N. 5. καὶ ὁ δῆμος NB et A (qui hab. μὲν ὁ, καὶ suprascr.), Bekk. et recc. edd. et conjecerat Reisk. ὁ δῆμος ceteri: quod in causa fuit ut Dobreus pro κινδυνεύῃ scribi juberet κινδυνεύητε, quod habet pr. M. 7. αὐτοὺς] αὑτοὺς vett. edd.

τοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται καὶ προσ-
κρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ ταὐτὰ πράττω-
σιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷςα πειθομένους τοῖς
τούτων λόγοις; τί γάρ ἐςι ῥήτορος δημοτικοῦ καὶ μι- 100.
σοῦντος τοὺς κατὰ τῆς πόλεως λέγοντας καὶ γράφον-
τας; ἢ τί φασι τοὺς πρὸ ἡμῶν γεγενημένους, ὦ Δη-
μόσθενες καὶ Πολύευκτε, διατελεῖν ποιοῦντας; καὶ
ταῦτα οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεςηκότος.
οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι
παρανόμων; ἔςιν οὖν ὅ, τι πεποιήκατε τούτων ὑμεῖς
οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ τὴν σωτηρίαν
ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ; γέγραψαι ψήφισμα, 101.
Δημόσθενες, πολλῶν ὄντων καὶ δεινῶν καὶ παρανόμων
ὧν Δημάδης γέγραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖ-
νος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ'
ἡντινοῦν. εἰσήγγελκας τὸν παρὰ τὸ τοῦ δήμου ψή-

Dobs. 9. ταὐτὰ Wolfius, Gruterus, Reisk. Bekk. Bait. et Spp. τὰ αὐτὰ N. ταῦτα ceteri. πράττωσιν] πράττοντες ZM.

§. 100, 1. ῥήτορος] χεῖρον v. κάκιον ῥήτορος temere conj. Steph. πρὸς ῥήτορος v. ῥήτορος ἔργον Dobreus. Cf. Matth. gr. §. 316. 3. φασι] φασὶ vett. edd. ἡμῶν] ὑμῶν Reisk. Cur. po-
γεγενημ
ster. p. 455. γεγενημένους] γενομένους M. 6. ἀλλήλους] αὐτοὺς
ο
conj. Wolf. 7. παρανόμων] παρανόμων M. ἔςιν — παρανόμων om. pr. A.

§. 101, 1. γέγραψαι NA Bait. et Spp. γέγραπται BLZM. γέγραπταί σοι ceteri. Perfectum γέγραμμαι, medii generis vim prae se ferens, non infrequens est: cf. Dem. de cor. 59. 119. adv. Lept. 95. in Timocr. 17. 189. Plat. Euthyphr. p. 2. A. 2. δεινῶν καὶ παρανόμων N et conjec. Wurm. Conf. Dem. in Timocr. 161. 194. δεινῶν παρανόμων vulg. δεινῶς παρανόμων conj. Bekk., recep. Bait. et Spp. 3. τινα] τινὰ vett. edd. 5. εἰσήγγελκας in marg. hab. A. τὸ — ψήφισμα] τὰ — ψηφίσματα malint Reisk. et Schm. Pro τὸν, quod praecedit, aut τοῦτον legendum, aut nomen proprium excidisse statuit Reisk.

φισμα καὶ τοὺς νόμους πολλὰ διαπεπραγμένον; οὐδεπώποτε, ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν ςαθέντα καὶ τῆς ἐν τῷ Πρυτανείῳ σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ Ἀριςογείτονος ἀπογόνοις.
102. ἔπειτα ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν, ἢ ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζομένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ παρακρούσεσθε τούτους ἀεὶ λέγοντες ὡς οὐκ ἔςιν ἔξω τῆς πατρίδος ὑμῖν ἐξελθεῖν, οὐκ ἔςιν ἄλλη καταφυγὴ χωρὶς τῆς ἡμετέρας εὐνοίας; φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους, λέγοντας ὡς οὐκ ἔςιν ὑμῖν οὐδεμία σω-
103. τηρία χωρὶς τῆς παρὰ τοῦ δήμου βοηθείας. ὑμεῖς δ' ἐν τοῖς ἔξω τὰς ἐλπίδας ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρα εἰληφέναι παρὰ τῶν αὐτῶν ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλή. καὶ σὺ πάντων ἐναν-

---

§. 101, 6. πολλὰ] πολλὰ πολλὰ A. διαπεπραγμένον] διαπεπραγμένους Z. οὐδεπώποτε] οὐδέποτε N. οὐδὲ πώποτε Ald. 8. τῆς] τοῖς pr. A. Ald. ἐν τῷ N. ἐν vulg. Raro in hac formula articulum inferunt: sed cf. Aesch. in Ctes. 196. Phot. bibl. c. 265.

§. 102, 2. ἢ ποῦ NA Stephanus, Bekk. et recc. edd. ἤπου B. ὅπου ceteri. 3. δεινοί] εὔνοι conj. Dobreus. 4. παρακρούσεσθε Bekk. Wurm. παρακρούσησθε N. παρακρούετε Dobr. παρακρούσετε ceteri. cf. §. 40. 109. Quamquam activam formam habet Plato Crit. p. 47. A. 5. ὑμῖν] Aut hic ἡμῖν aut infra ἡμετέρας legi vult Reisk. ἡμῖν prob. Dobreus. 6. ἡμετέρας NAB Bekk. et recc. edd. ὑμετέρας ceteri. ἐχρῆν] ἐξῆν (χρῆν) M. 8. οὕτω] εἶθ' οὕτω proponit Reisk. At cf. II. 14. III. 8. et supra §. 71. 9. Post τούτους comma posui cum Schm. et Wurm. λέγοντας] λέγοντες (α) M.

§. 103, 2. δ' ἐν] δὲ ἐν vett. edd. 5. σὺ πάντων NA, quod conjec. Reisk., prob. Schm., recep. Bait. et Spp. συμπάντων ce-

τίον τῶν Ἑλλήνων διειλεγμένος Νικάνορι, καὶ κεχρη-
ματικὼς ἐν Ὀλυμπίᾳ περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν
νῦν σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδό-
κος, ὡς ἐπιμελησομένους τούτους τῆς σῆς πονηρίας,
καὶ οὐ δώσων δίκην ὑπὲρ ὧν εἴληφαι πεποιηκώς, το- 104.
σούτῳ τολμηρότερον Δημάδου, ὥσθ᾽ ὁ μὲν προειρη-
κὼς ἐν τῷ δήμῳ τὸν ἑαυτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν,
καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι, ὅμως οὐ τε-
τόλμηκε τούτοις δεῖξαι τὸ πρόσωπον, οὐδ᾽ ἐναντία τῇ
τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε. καίτοι οὐκ ἔγρα-
ψεν ἐκεῖνος περὶ αὑτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ
θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς·
σὺ δὲ οὕτω σφόδρα πεπίςευκας τοῖς σεαυτοῦ λόγοις
καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥςε πεί-
σειν οἴει τοὺς δικαςὰς ὡς μόνου σοῦ κατέψευςαι τὸ
συνέδριον καὶ μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀπο-
πέφαγκεν. καὶ τίς ἂν ταῦτα πεισθείη;

Ὁρᾶτε, ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. παρειλή- 105.
φατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα τὸ γεγενημένον ἤδη,
τιμωρίας δ᾽ ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς

---

teri. ἐναντίον τῶν Ἑλλήνων dedi duce N, qui praebet ἐναντίων τ. Ἑλλ.: ceteri τῶν Ἑλλ. ἐναντίον. 9. ἐπιμελησομένους] ἐπιλησομένους Stephanus. ἐπιλελησμένους conj. Reisk, sine idonea causa.

§. 104, 2. τολμηρότερον] τολμηρότερος Wolfius. 3. ἑαυτοῦ N. αὑτοῦ vulg. 4. καὶ ὁμ.] ἣν ὁμ. typothetae errore Schm. τετόλμηκε τούτοις N Bait. et Spp. τετόλμηκεν αὐτοῖς vulg. 5. δεῖξαι] ἐνδεῖξαι N. ἐναντία] ἐναντίᾳ Ald. 7. αὑτοῦ] αὐτοῦ N Ald. 8. θάνατον ὡρίσατο] Haud scio an exciderint hic vv. ἑαυτῷ (εἶναι) τὴν ζημίαν. Cf. §. 61. Lycurg. 65. 9. σὺ] οὐ L. $\overset{σὺ}{οὐ}$ M. 12. μόνον οὐκ] μονονοὺκ vett. edd., in duo vocabula dispesci voluerunt Wolfius et Gruterus. σὲ] σε vett. edd. 13. πεισθείη] πειθείη Ald.

§. 105, 1. ὦ NABLM Ald. Bekk. et recc. edd. om. ceteri. 2. ἤδη] εἶδος NABLZM. ὄνειδος Bait. et Spp.

ἀποφάσεσι Δημοσθένης εἰσάγεται πρῶτος. κατηγορήκαμεν ἡμεῖς οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δικαίων. πότερ᾽ ἀμελήσαντες τῶν γεγενημένων ἁπάντων ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς καὶ τὰ δίκαια παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ᾽ εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ᾽ ὑμεῖς οἱ κύριοι πάντων λύσετε, καὶ τὴν πονη-
106. *ρίαν αὐτοὶ τὴν τούτων ἀναδέξεσθε; ἢ πᾶσιν ἀνθρώποις παράδειγμα ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς προδότας καὶ τοὺς χρημάτων ἕνεκα προϊεμένους τὰ τοῦ δήμου συμφέροντα; ταῦτα γὰρ ἅπαντά ἐςιν ἐφ᾽ ὑμῖν νῦν, καὶ πεντακόσιοι καὶ χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν ταῖς χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ ἡ ὑμετέρα ψῆφος πολλὴν ἀσφάλειαν ἐν τῇ πόλει καταςήσει τὰ δίκαια ὑμῶν ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλπίδας ἔχειν ποιήσετε πάντας τοιαῦτα ὑμῶν ἔθη καθιςάντων.*

107. *Οὐ καταπληκτέον ἐςίν, ἄνδρες Ἀθηναῖοι, οὐδὲ προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους ἐλέοις τὴν*

---

§. 105, 5. *οὐδενὶ*] Aut *οὐδὲν* aut *οὐδὲν οὐδενὶ* scribi jubet Reisk. *οὐδὲν οὐδενὶ* prob. Bekk. et Wurm. Equidem praetulerim *οὐδὲν*. Cf. Plat. Apol. p. 35. C. 6. *γεγενημένων ἁπάντων*] *γενομένων πάντων* ZM. 8. *τὰ*, quod vulg. infertur post *δίκαια*, ejeci coll. §. 84. Isae. de Hagn. h. 38. Lys. in Evandr. 18. Dem. adv. Aphob. 10. de cor. 181. atque abesse malit Saupp. *παρὰ*] *περὶ* vett. edd., quod correxerunt Wolf. Steph. Gruter. Scaliger. 10. *οἱ* add. N, et A supra versum, Bekk. et recc. edd. 11. *ἀναδέξεσθε*] *ἀναδέξασθε* LZM Ald. *ἀναδέξασθαι* B.

§. 106, 2. *παράδειγμα*] *δεῖγμα* conj. Wurm. 3. *προϊεμένους* AB Bekk. et recc. edd. *προιμένους* N. *προεμένους* cett. 6. *σωτηρίαν*] *σωτηρίας* Ald. 8. *ἐν* add. N. 9. *ποιήσετε*] *ποιήσει* Dobreus. *ἔχειν* ante *ποιήσετε* collocat N, ceteri post *πάντας*. 10. *τοιαῦτα* N. *τοιαῦθ᾽* vulg. *ἔθη*] *ἤθη* Bekk. ed. Berol.

§. 107, 1. *καταπληκτέον*] hoc. v. a corr. hab. A. *ἄνδρ.* N. *ὦ ἄνδρ.* vulg. Cf. §. 18.

κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. οὐδεὶς γὰρ ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα λαμβάνειν καθ' ὑμῶν, πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον, οὐδ' ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὡμολογημένων ἀδικημάτων, γράψαντα καθ' ἑαυτοῦ θάνατον τὴν ζημίαν· ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος αἰσχροκέρδεια καὶ πονηρία ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτραφε. μὴ οὖν ἄχθεσθε αὐτοῦ 108.
κλαίοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν δικαιότερον ἐλεήσετε τὴν χώραν, ἣν οὗτος εἰς τοὺς κινδύνους καθίςησι τοιαῦτα πράττων, ἣ τοὺς ἐξ ἑαυτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραςησαμένη τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν προδότην καὶ σώζειν ἑαυτήν, ὑπὲρ ἧς οἱ πρόγονοι πολλοὺς καὶ καλοὺς κινδύνους ὑπομείναντες ἐλευθέραν αὐτὴν ὑμῖν παραδεδώκασιν, ἐν ᾗ πολλὰ καὶ καλὰ παραδείγματα λέλειπται τῆς τῶν τελευτησάντων ἀρετῆς. εἰς ταύτην ἀποβλέ- 109.
ψαντας, ὦ Ἀθηναῖοι, καὶ τὰς ἐν αὐτῇ γινομένας πατρίους θυσίας καὶ τὰς τῶν προγόνων θήκας φέρειν

---

§. 107, 3. ἀπολογίαν] τιμωρίαν conj. Bekk. in Addend., prob. Schm. 5. λαμβάνειν Wolf., prob. Reisk., recep. Bait. et Spp. λαμβάνοντα NABLZM. λαμβάνειν τὰ ceteri. Ante πολλῷ Wolfius addi jubet τόν. 6. ἀπολογεῖσθαι pr. A Wolf. Reisk. et recc. edd. ἀπολεῖσθαι NBLZM vett. edd.

§. 108, 3. ἐλεήσετε] ἐλεήσαιτε Bekk. Bait. et Spp. Tu confer Hartung. Partikeln II. p. 280 sq. et quae annotavi ad Lycurg. p. 212. Antiph. p. 254. εἰς τοὺς κ. καθίςησι N. καθίςησιν εἰς τοὺς κινδύνους vulg. 4. ἐξ ἑαυτῆς N. ἐξ αὐτῆς Ald. Steph. Wech. Schm. Wurm. ἐν αὐτῇ Wolf. conj. ἐξ αὐτῆς cett. 5. ὑμᾶς] ἡμᾶς pr. N. 7. πολλοὺς καὶ καλοὺς N. πολλοὺς καὶ μεγάλους conj. Bekk. καλοὺς καὶ πολλοὺς vulg. καλοὺς καὶ malit abesse Sauppius coll. III. 21. Cf. Dem. Ol. III. 36. τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον. 8. αὐτὴν ὑμῖν AB Bekk. et recc. edd. ὑμῖν αὐτὴν cett.

§. 109, 2. τὰς om. vett. edd., addendum esse viderunt Wolf. Steph. Gruter.

δεῖ τοὺς εὖ φρονοῦντας τὴν ψῆφον. καὶ ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλόμενος καὶ παρακρούόμενος ὑμᾶς οἰκτίζηται καὶ δακρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως ἀξίωμα ἀποβλέψαντες καὶ τὴν πρότερον δόξαν ὑπάρχουσαν αὐτῇ ἀντίθετε, πότερον ἡ πόλις ἐλεεινοτέρα διὰ τοῦτον γέγονεν ἢ διὰ τὴν πόλιν Δημοσθέ-
110. νης. εὑρήσετε γὰρ τοῦτον μὲν λαμπρὸν ἐξ οὗ προσελήλυθε πρὸς τὸ πολιτεύεσθαι γεγενημένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ μισθοῦ τὰς δίκας λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορμίωνος καὶ ἑτέρων πολλῶν πλουσιώτατον ὄντα τῶν ἐν τῇ πόλει, ἀντὶ δ' ἀγνῶτος καὶ οὐδεμίαν πατρικὴν δόξαν παρὰ τῶν προγόνων παρειληφότος ἔνδοξον γεγενημένον, τὴν δὲ πόλιν οὐκ ἀξίως ἑαυτῆς οὐδὲ τῆς τῶν προγόνων δόξης διακειμένην. ἀφέντες οὖν τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου τὴν δικαίαν καὶ τὴν ὁσίαν φέρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ πατρίδι συμφέρον, μὴ τὸ Δημοσθένει· τοῦτο γάρ ἐϛι καλῶν κἀγαθῶν δικαϛῶν ἔργον.

---

§. 109, 5. ἐξαπατῆσαι βουλόμενος καὶ παρακρουόμενος] Aut ἐξαπατῶν καὶ παρακρουόμενος aut ἐξαπατῆσαι βουλόμενος καὶ παρακρούεσθαι malebat Reisk. Pro παρακρουόμενος in ZM est περικρουόμενος. 6. ὑμᾶς] ἡμᾶς N. 7. ἀξίωμα Markland. et Wurm. σῶμα vulg. Cf. III. 21. Aesch. in Ctes. 237. et pass. Dem. Phil. III. 73. de synt. 33. de cor. 149. adv. Lept. 142. Plutarch. Phoc. 1. Diod. Sic. 17, 15. 8. ὑπάρχουσαν αὐτῇ N. αὐτῇ ὑπάρχουσαν vulg.

§. 110, 1. προσελήλυθε] προελήλυθεν ZM. προσελήλυθε πρὸς N Bait. et Spp. atque πρὸς malit Bekkerus quoque. Cf. II. 15. Aesch. in Ctes. 134. προσελήλυθεν εἰς ceteri. 4. καὶ ἑτέρων] ἑτέρων, καὶ Ald. In Aldina esse ἑταίρων falso affirmat Reisk. πλουσιώτατον N Bait. et Spp. et praetulerit Bekk. πλουσιώτερον vulg. Cf. II. 1. 5. ὄντα] ὄντα πάντων conj. Reisk. 6. οὐδε-
οὐ διακειμένην
μίαν] μηδεμίαν M. 8. διακειμένην] γεγενημένην M. 10. τὴν δικαίαν καὶ τὴν ὁσίαν N. τὴν ὁσίαν καὶ δικαίαν vulg. In repetito articulo ne offendas, compares in Aristog. 20. Dem. de f. leg. 311. Lycurg. 128. ibique interpp. 11. μὴ τὸ] μὴ τῷ NZM. μὴ τὸ τῷ conj. Schm. 12. καλῶν κἀγαθῶν] καλὸν κἀγαθὸν N.

Καὶ ὅταν ἀναβαίνῃ τις συνηγορήσων Δημοσθέ- 111.
νει, λογίζεσθε ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐςὶ τῇ πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βουλόμενος δίκην δοῦναι καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ ςρατηγός, οἳ τὴν προσδοκωμένην καθ' αὐτῶν ἀπόφασιν ἄπιςον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ προσεκτέον ὑμῖν ἐςὶ τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γεγένηται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν. νομίσαντες οὖν, 112.
ὦ Ἀθηναῖοι, καθ' ὑμῶν πάντας τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἁπάσης, μὴ ἀποδέχεσθε αὐτῶν, ἀλλὰ κελεύετε ἀπολο-

---

§. 111, 1. τις] τὶς vett. edd. συνηγορήσων NABZ Bekk. et recc. edd. et conjectura invenerat Wolf. prob. Reisk. δημηγορή[συν]σων M. δημηγορήσων L ceteri. 2. λογίζεσθε — ἄνθρωπος N habet in marg. 3. ἀποφάσεσιν ἀναβαίνει] ἀναβαίνει[β] ἀποφάσεσι[α] M. 6. ἐφ'] ἀφ'[ἐ] M. 7. βούλεται] βούλετε[αι] M. 9. ςρατηγός, οἳ] ςρατηγοὶ conj. Reisk. προσδοκωμένην καθ' αὐτῶν N. καθ' αὐτῶν προσδοκωμένην vulg. Pro καθ' αὐτῶν in L et Ald. exstat καθ' αὐτόν. 11. ὑμῖν .. εἰδότας] εἰδόσιν[τας] M. Aut ὑμᾶς leg. esse aut εἰδόσιν censuit Reiskius, quippe qui immemor esset loquendi generis apud poëtas et in pedestri oratione satis triti. V. Brunck. ad Aeschyl. Prom. 216. ad Sophocl. Electr. 480. Elmslej. ad Eurip. Heracl. 693. Ducker. ad Thuc. 4, p. 238. Markland. ad Lys. p. 556. 579. et in Schaefer. Appar. II. p. 761 sq. Jacobs. anim. in Athen. p. 97. Stallb. ad Plat. Symp. p. 176. D. ad Gorg. p. 492. B. 12. γεγένηται scripsi pro vulg. γίνεται. συνεργία] συνεργεία Ald. περὶ] πρὸς ZM.

§. 112, 4. αὐτῶν] αὐτὸν M. ἀπολογεῖσθαι] ἀπολογεῖσθε M.

γεῖσθαι περὶ τῶν κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν· καὶ ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ὅτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, τιμωρήσασθε ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ἀξίως· εἰ δὲ μή, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλλοντας ἀφέντες εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, κἂν ὕϛερον ἐγκαλῆτε τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔϛαι πλέον ὑμῖν.

113. Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κατηγορίας ἥκει, βεβοήθηκα, τἄλλα πάντα παριδὼν πλὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν. οὐκ ἐγκαταλέλοιπα τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.

ἀπολεῖσθε (αι) Z. 5. κατηγορημένων] κατηγορουμένων Z. μηδὲ — μανίαν] μηδὲ τὴν τοῦ συκοφάντου τούτου θαυμάζετε μανίαν praetulerit Reisk. 7. ἐπειδὰν] ἐπειδὴ Z. φανερὸς] φανερῶς N. γένηται] γεγένηται malit Reisk. ὅτι] ἔτι NAB et conj. Wolf. probatque Reisk. ita tamen ut post ὑμᾶς inseri jubeat ἀλλά. Sauppius malit ὅσῳ. 8. φεναχίζων] a corr. hab. A. Post τιμωρήσασθε fort. inserendum αὐτὸν. Quamquam conferre licet Il. 15. 10. καὶ τοὺς — τὴν τούτων in marg. hab. M. 11. μέλλοντας] μέλλοντα Ald. 12. κἂν ὕϛερον rec. N, AB. καὶ ὕϛερον vulg. ἐγκαλῆτε N. ἐγκαλέσετε conj Steph. ἐγκαλεῖτε vulg. αὐτοῖς post ἐγκαλεῖτε inferri jubet Dobreus. 13. ὅτε] οὔτε Z.

§. 113, 1. τοὐμὸν] τοῦ μὲν vett. edd. sed τοὐμὸν conjectura invenerant Wolf. Steph. Gruter. 2. ἥκει βεβοήθηκα om. pr. M. 3. ἐγκαταλέλοιπα NAB Bekk. et reec. edd. ἐγκατέλιπα LZM. ἐγκατέλιπον ceteri.

II.

ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ.

Πάνθ', ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, προσδοκητέα ἐςὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γιγνόμενον. ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν ἄλλων ἀνθρώπων, Ἀριςογείτων διαδικασόμενος ἥκει τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης, καὶ νυνὶ μείζονα κίνδυνον ἡ τὴν ἀπόφασιν πεποιημένη βουλὴ κινδυνεύει ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν ὑπὲρ τῶν δικαίων παῤῥησίαν ἀποδόμενος εἴκοσι μνῶν. τούτῳ μὲν γε καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν ἁλῷ, συμβήσεται· καὶ γὰρ θανάτου ἄξια πολλὰ πρότερον ἕτερα διαπέπρακται, καὶ ἐν τῷ δεσμωτηρίῳ πλείω χρόνον ἢ ἔξω διατέτριφε, καὶ ὀφείλων τῷ δημοσίῳ κατὰ τῶν ἐπιτίμων γέγραφεν οὐκ ἐξὸν αὐτῷ, καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε, περὶ ὧν ὑμεῖς ἀκριβέςερον ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ τὸ δόξαι ψευδῆ κατὰ Ἀριςογείτονος ἀποφαίνειν καὶ τοῦτον ἐκείνης ὑποληφθῆναι παρ' ὑμῖν δικαιότερα λέ-

(margin: 2.)

---

§. 1, 1. *Πάνθ' .. ὦ Ἀθηναῖοι*] *Πάνθ' .. ὦ ἄνδρες* Dionys. Halic. de Dinarcho judic. 10. 6. *τῇ — βουλῇ* NA Bekk. et recc. edd. *τὴν — βουλὴ* B. *τὴν — βουλὴν* ceteri. *πρὸς τὴν — βουλὴν* conj. Reisk. coll. §. 4. extr., quod probat Dobr. coll. III. 20. *διαδικάζεται νῦν πρὸς τὴν τούτου πονηρίαν.*

§. 2, 1. *τούτῳ*] *τοῦτο* ZM. 4. *ἢ*] *καὶ* ZM. 5. *γέγραφεν* N Bekk. cum codd., opinor, et recc. edd. *γέγραφε* vett. edd. 6. *δεινὰ*] *δεινα* Ald. 7. *ὑμεῖς ἀκριβέςερον* N. *ἀκριβέςερον ὑμεῖς* vulg. 8. *ψευδῆ*] *καὶ ψευδῆ* N. *τὰ ψευδῆ* ded. vid. pr. A. 9. *ὑποληφθῆναι παρ' ὑμῖν* N. *παρ' ὑμῖν ὑπολειφθῆναι* ZM. *παρ' ὑμῖν ὑποληφθῆναι* ceteri.

3. γειν τῶν αἰσχίςων καὶ δεινοτάτων ἐςίν. διόπερ, ὦ
Ἀθηναῖοι, οὗτός μοι δοκεῖ, τὸν ἀγῶνα ἀσφαλῆ νομί-
ζων αὐτῷ εἶναι, διαπειρασόμενος ἥκειν τῆς ὑμετέρας
γνώμης· ἅπαντα γὰρ αὐτῷ πολλάκις τὰ δεινὰ συμβέ-
βηκε, πλὴν τοῦ ἀποθανεῖν. τοῦτο δ', ἂν θεὸς θέλῃ
καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμερον ἡμέρᾳ συμβήσε-
ται. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα βελτίω γενήσεσθαι
αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα παρ'
ὑμῶν, οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρή-
ματα καθ' ὑμῶν, ἐὰν νῦν ἀφῆτε αὐτόν. πονηρίαν γὰρ
ἀρχομένην μὲν κωλῦσαι τάχα τις κολάζων δυνηθείη,
ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγευμένην τῶν εἰθισμένων
4. τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν.' εἰ μὲν οὖν ἐγγε-
νήσεσθαι βούλεσθε δευσοποιὸν ἐν τῇ πόλει πονηρίαν,
διαφυλάττειν ὑμᾶς Ἀριςογείτονα δεῖ, καὶ ἐὰν ὅ, τι ἂν
τις βούληται ἐν τῇ πόλει διαπράττεσθαι· εἰ δὲ τοὺς

ἀτων
§. 2, 10. δεινοτάτων] δεινότερα M. δεινότατον Ald. ἐςίν] ἐςὶ N.

§. 3, 2. ἀσφαλῆ νομίζων αὐτῷ εἶναι] ἀσφ. νομ. αὐτῷ εἶναι N. αὐτῷ ἀσφαλῆ εἶναι νομίζων AL Bekk. Schm. αὐτῶν ἀσφαλῆ εἶναι νομίζων cett. αὐτῶν sup. lin. add. M. et pro ἀσφαλῆ pr. M. habet ἀσφαλέςατον. Pro αὐτῶν Stephanus et Scaliger conj. αὐτόν: αὐτῷ Reiskius praetulit. 3. ὑμετέρας NAL Reisk. et recc. edd. ἡμετέρας BZ vett. edd. 6. σωφρονῆτε] σωφρονεῖτε Ald. συμ-
σύμβ
βήσεται] γενήσεται M. 7. γενήσεσθαι] γενήσεσθ' N. 8. συγγνώ-
συγγνώμης
μης] βελτίων M. 10. ὑμῶν] ἡμῶν M. νῦν] οὖν Z. 11. τάχα] τάχ' ἂν malint Bekk. Wurm. Dobr. recep. Bait. et Spp. Cf. I. 50. 12. γεγευμένην B Bekk. et recc. edd. et conjectura invenerat Jungermann. V. Ruhnk. ad Tim p. 75. γεγενημένην ceteri: ante hoc vocabulum deesse κρεῖττω susp. Palmerius, ἰσχυροτέραν vel ὑπερτέραν Reiskius: περιγεγενημένην legi vult Toup. Emend. ad Suid. I. p. 96.

§. 4, 2. δευσοποιὸν NAB Bekk. et recc. edd. ψευδοποιὸν ceteri. 3. ἐὰν] ἐὰν Ald. 4. τις delendum censent Bekk. Schm.

πονηροὺς καὶ καταράτους ἀνθρώπους μισεῖτε καὶ ἔςιν ὑμῖν ὀργὴ καὶ μνήμη τῶν πρότερον ὑπὸ τούτου πεπραγμένων, ἀποκτείνατε τοῦτον, ὃς παρ' Ἁρπάλου λαβεῖν χρήματα ἐτόλμησεν, ὃν ᾔσθεσθ' ἥκειν καταληψόμενον τὴν πόλιν ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς ἐκκόψατε αὐτοῦ· τούτοις γὰρ ἥκει πιςεύων πρὸς ὑμᾶς.

Ἆρ' ἴςε ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς οὔ- 5.
σης ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι πεῖραν εἰλήφατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυσίου πάντα προϊεμένων τοῖς τῆς πόλεως ἐχθροῖς; μὴ καταῤῥαθυμήσητε, ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμωρούμενοι τοὺς πονηρούς, ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον δυνατόν ἐςι, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. καὶ μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε, φανερῶν ὑμῖν γεγενημένων τῶν ἀδικημάτων ἐκ τῶν ὑπὸ τῆς βουλῆς
ἀποπεφασμένων. τί γὰρ ἀγνοεῖτε δι' ὃ δεῖσθε λόγων 6.

αι

jure, opinor. βούληται] βούλετε M. 6. πεπραγμένων] πεπραγμενων Ald. 8. ᾔσθεθ' NA Bekk. et recc. edd. ᾔσθεσθ' ceteri. 9. ὑμῶν NA Bekk. Dobs. Bait. et Spp. ἡμῶν ceteri. 11. ὑμᾶς] ἡμᾶς vett. edd.

§. 5, 1. ἴςε N vett. edd. ἴσθ' Bekk. codicum mentione neglecta, et recc. edd. 2. διότι] διὸ M. 4. πάντα προϊεμένων N. προϊεμένων πάντα vulg. τῆς add. NABLZM Bekk. et recc. edd. et desiderabat Reisk. καταῤῥαθυμήσητε NABLZM Bekk. et recc. edd. καταραθυμήσατε Ald. καταῤῥαθυμήσατε ceteri. Universum hunc locum ita constitui vult Dobreus: προϊεμένων ἂν πάντα (vel πάντ' ἂν) τοῖς τῆς πόλ. ἐχθρ. μὴ καταῤῥαθυμήσητε. 5. μηδ'] μὴ δ' Ald. hic et passim. 6. ἐκκαθάρατε] ἐκκαθήρατε Sauppius cum Buttm. gr. ampl. II. p. 160. Matth. I. p. 585. ed. 3. Sed cf. Xenoph. Anab. 5, 7, 35. Oecon. 18, 8. Plat. Legg. V. p. 735. B. Lucian. vit. auct. 8. Alex. 1. Jacobitz. Lobeck. ad Phryn. p. 25. καθ' ὅσον] καθόσον vett. edd. 8. ζητήσητε] ζητήσετε N. 9. γεγενημένων] γενομένων ZM. ἐκ] κατὰ N, quod in A quoque videtur fuisse, qui a correctore habet ἐκ. ὑπὸ sup. lin. hab. pr. A. 10. ἀποπεφασμένων] Vulgo sequebantur haec: ἢ διὰ τοὺς

ἀκούειν κατὰ τοῦ νῦν κρινομένου; πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κατήγοροι δέκα ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν καὶ ἀναβοήσωμεν ὡς δεινὸν ἀφεῖσθαί ἐϛιν τοὺς εἰλημμένους ἔχοντας ἐπ' αὐτοφώρῳ δῶρα κατὰ τῆς πατρίδος, ἀληθὴς καὶ δικαία
7. ἔϛαι ἡ κατὰ Ἀριϛογείτονος [ἀπόφασις], ἐὰν δ' ἕκαϛος ἡμῶν, ὡς εἰδότων ὑμῶν πάντα οὐδὲν ἧττον ἡμῶν τὰ δίκαια περὶ τουτωνὶ τῶν ἀγώνων, βραχέα εἰπὼν καταβῇ, ψευδής, καὶ οὐδεὶς ταύτῃ πιϛεύσει ὡς παρὰ τῶν Ἀρεοπαγιτῶν γεγενημένῃ; ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδοσίᾳ τῶν τῆς πόλεως συμφερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινοτάτων ἐϛὶ καὶ τῶν πλεῖϛα κακὰ τὰς πόλεις ἐργαζομένων;

τοῦ κρινομένου προγόνους καὶ τὴν αὐτοῦ μετριότητα, καὶ ὅτι ὑμᾶς πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἴργασαι, ἄξιον αὐτοῦ φείσασθαι; [τοῦ κρινομένου NA Bekk. Schm. κρινομένους ceteri. — Pro καὶ τὴν Z praebet κατὰ τὴν, N καὶ διὰ τὴν: — pro αὐτοῦ ZM habent αὐτῶν. — pro ὑμᾶς πολλὰ N habet πολλὰ ὑμᾶς, cf. §. 8.: pro ἄξιον N praebet ἄξιον ἐϛιν cf. §. 8.] Quam διττογραφίαν eorum esse, quae rectius leguntur §. 8., viderunt Bekkerus, Schmidtius: deleri jussit Dobreus, ejecerunt Bait. et Spp.

οὖ ου

§. 6, 2. τοῦ — κρινομένου] τῶν — κρινομένων M. 5. ἀφεῖσθαί ἐϛιν N. ἐϛιν ἀφεῖσθαι vulg. Pro ἀφεῖσθαι scribendum esse ἀφίεσθαι censuerunt Bait et Spp. Tu cf. Dem. in Neaer. 68. δίαιταν ἐπιτρέπει — ὥϛε τῆς μὲν ἐγγύης αὐτοὺς ἀφεῖσθαι. Epitaph. 21. ἅπαντας ἀφεῖσθαι κακίας ἀνάγκη. Isocr. adv. Callim. 39. ἔτι καὶ νῦν ἔξεϛιν αὐτῷ — ἀπηλλάχθαι πάντων τῶν πραγμάτων. Dinarch. I. 111. Quod genus late patet: v. Jacobitz. ad Lucian. Jov. Trag. p. 97. 7. ἔϛαι h. l. habet N: ceteri collocant post Ἀριϛογείτονος. κατὰ N vett. edd. κατ' Bekk. (de codd. tac.) Schm. Cf. Wurm. Comment. p. 29. Verba ἡ κατὰ Ἀριϛογείτονος ἀπόφασις deleri jubet Dobreus. Sufficit loco perpurgando deleta vox ἀπόφασις. Cf. III. 5.

§. 7, 3. τουτωνὶ τῶν ἀγώνων] τουτονὶ τὸν ἀγῶνα conj. Reisk. καταβῇ] καταβήσομαι ZM. 4. ταύτῃ πιϛεύσει om. N et pr. A. Post ὡς Reiskius interponendum suspicatur οὐ. 5. ἢ] καὶ ἢ B. καὶ εἰ ZM.

Ἀλλ' αὐτὸς ὁ κρινόμενος νὴ Δία μέτριος τὸν τρό- 8.
πον, καὶ προγόνων χρηςῶν, καὶ πολλὰ ὑμᾶς καὶ ἰδίᾳ
καὶ δημοσίᾳ καλὰ εἰργασμένος, ὥςε διὰ τοῦτ' ἄξιόν
ἐςιν αὐτοῦ φείσασθαι. καὶ τίς ὑμῶν οὐ πολλάκις
ἀκήκοεν ὅτι Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ Ἀριςο-
γείτονος θανάτου καταγνωσθέντος καὶ φυγόντος ἐκ
ταύτης τῆς πόλεως ὁ χρηςὸς οὗτος υἱὸς περιεῖδε τὸν
αὐτοῦ πατέρα καὶ ζῶντα τῶν ἀναγκαίων σπανίζοντα
καὶ τελευτήσαντα οὐ τυχόντα τῶν νομίμων, ἅπερ αὐ-
τοῦ πολλάκις κατεμαρτυρεῖτο· αὐτὸν δὲ τοῦτον, ὅτ' εἰς 9.
τὸ δεσμωτήριον τὸ πρῶτον ἀπήχθη (πολλάκις γὰρ ἴςε
δήπου τοῦτο γεγενημένον), τοιαῦτα τολμήσαντα ποιεῖν
αὐτούς, ὥς' ἐκείνους ἀποψηφίσασθαι μήτε πῦρ ἐναύειν
τούτῳ μήτε συσσιτεῖν μηδένα μήτε θυσιῶν τῶν γινο-
μένων κοινωνεῖν. καίτοι, ὦ Ἀθηναῖοι, τίνα χρὴ τοῦ-
τον νομίζειν διάνοιαν ἔχειν, ὃς διὰ μὲν πονηρίαν εἰς
τὸ δεσμωτήριον ἐνέπεσεν, ἐκεῖ δ' ὢν παρὰ τοῖς ἐκ τῶν 10.
ἄλλων ἀνθρώπων κακούργοις ἀπηγμένοις οὕτως εἶναι
πονηρὸς ἔδοξεν, ὥςε μηδ' ἐκείνοις τῶν ἴσων ἀξιοῦσθαι

---

§. 8, 2. ὑμᾶς N Bekk. absque codicum mentione, Schm. ἡμᾶς vett. edd. Dobs. 4. ἐςιν om. M. φείσασθαι] φείσεσθαι ZM. ὑμῶν] ἡμῶν M. 5. Κυδιμάχου N Reisk. Bekk. Bait. et Saupp. τοῦ Κυδ. vulg. 8. αὐτοῦ] αὑτοῦ N Ald. 10. κατεμαρτυρεῖτο] καταμεμαρτύρηται vel forsan κατεμαρτυρήθη (coll. §. 10.) mavult Dobreus, sine idonea causa.

§. 9, 3. δήπου τοῦτο N. τοῦτο δήπου vulg. 4. αὐτούς] αὐτοῦ conj. Wurm, recep. Bait. et Spp. ἀποψηφίσασθαι] ἀπο-ψηφίσαντα (ασθαι) M. 5. γινομένων] Cf. Hermann. ad Vig. p. 779. γε-νομένων ZM. 7. νομίζειν om. M. διάνοιαν ἔχειν N. ἔχειν διά-νοιαν vulg.

§. 10, 2. ἀπηγμένοις Wurm. Bait. et Spp. ἀνηγμένοις vulg. cf. §. 9. Aesch. in Ctes. 150. Dem. in Aristocr. 80. 3. μηδ' ἐκεί-νοις] Aut μηδ' ἐκεῖ scribendum aut ἐκείνοις delendum censet Dobreus ut e seq. lin. ortum: atque hoc praefert.

τοῖς ἄλλοις, ἀλλὰ κλέπτην (ὥς φασι) ληφθέντα τουτονὶ παρ' ἐκείνοις, εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος ἵνα ἐξῆν ἀπάγειν τοὺς ἐκ τοῦ δεσμωτηρίου κλέπτοντας, εἰς ἐκεῖνον ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι. καὶ ταῦθ' ἅπερ ἀρτίως εἶπον, τίς οὐκ οἶδε καταμαρτυρηθέντα Ἀριςογείτονος, ὅτ' ἐμπορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν ταύ-
11. *την τὴν ἀρχήν; ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτούς, καὶ περὶ Ἀριςογείτονος μέλλοντες φέρειν τὴν ψῆφον ἐλεεῖτε, ὃς τὸν αὑτοῦ πατέρα κακῶς διατιθέμενον ὑπὸ τοῦ λιμοῦ οὐκ ἠλέησεν; ἔπειτα παρ' ἡμῶν ἔτι λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριςογείτονος τιμήσεως, ὃν ἴςε ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ πεπραγμένων τῆς ἐσχάτης τύ-*
12. *χοι τιμωρίας; οὐκ Ἀριςογείτων ἐςίν, ὦ Ἀθηναῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς Βραυρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα γράψας καὶ ψευσάμενος, ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν ἐπύθεσθε παρὰ τῶν κατηγόρων, πέντε ταλάντων τιμῆσαι τούτῳ, ὅσονπερ*

---

§. 10, 6. *τοὺς ἐκ τοῦ* N. *τοὺς τὰ ἐκ* suspic. Reisk. *τοὺς ἐκ* vulg. 10. *ταύτην τὴν* Bait. et Spp. *αὐτὴν τὴν* N. *τὴν αὐτὴν* vulg. *τοιαύτην* conj. Bekk. Vel *αὐτὴν* delendum vel *ταύτην τὴν* legendum suspicatur Meier. Att. Proc. p. 206.

§. 11, 3. *αὐτοῦ*] *αὑτοῦ* N Ald. 4. *τοῦ λιμοῦ* N. *λιμοῦ* vulg. Neque raro in ejusmodi dictionibus nomini *λιμὸς* articulum adjiciunt: cf. Thucyd. 1, 126. Xenoph. Anab. 1, 5, 5. 7, 4, 5. Dem. adv. Aphob. I. 63. adv. Lept. 42. Lycurg. 128. Plat. Symp. 191. A. 207. B. *ἠλέησεν*] *ἠθέλησεν* ZM. *παρ' ἡμῶν* add. NABL Bekk. et recc. edd. 5. *βούλεσθε*] sup. lin. hab. a pr. M. 7. *τύχοι*] *τύχη* A.

§. 12, 2. *Βραυρωνίας* Reisk. Bekk. et recc. edd. *βαυβρωνίας* NAZ. *βαβρωνίας* (*αυ* sup. lin.) B. *βαμβρωνίας* M. *Βαυρωνίας* ceteri. 4. *ἐπύθεσθε*] *ἐπίθησθε* Ald. 5. *τιμῆσαι*] *τίμημα τιμῆσαι* A. *τούτῳ* N Stephanus, Bait. et Spp. *τοῦτον* vulg. *τοσοῦτον* scil. *τίμημα*

ἣν ἐπὶ τῇ τῶν παρανόμων γραφῇ τίμημα ἐπιγεγραμ-
μένον; οὐχ οὗτος πρὶν ἐκτῖσαι τοῦτο συκοφαντῶν τὸν
ἐντυγχάνοντα ὑμῶν καὶ λέγων καὶ γράφων ἐν τῷ δήμῳ
διατετέλεκε, καὶ καταφρονῶν ἁπασῶν τῶν τιμωριῶν αἳ
κατὰ τῶν ἀδικούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμμέ-
ναι; οὐ τὸ τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούρ- 13.
γου, καὶ ἐξελεγχθεὶς ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ
ἐξὸν αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νό-
μους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων * καὶ εἰς
τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;

Εἶτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολ- 14.
λάκις ὑμῖν παραδεδώκασι τιμωρήσασθαι κατεψηφισμέ-
νον ὑπὸ τῶν πολιτῶν ἐνδειχθέντα, φυλάξαι δ' οὔθ' οἱ
ἕνδεκα δεδύνηνται οὔτε τὸ δεσμωτήριον, τούτῳ βουλή-
σεσθε συμβούλῳ χρῆσθαι; καὶ ὁ μὲν νόμος εὐξάμε-

---

conj. Reisk. prob. Schm. 7. οὐχ οὗτος conj. Schm. et Dobreus: Qua scriptura admissa, post γεγραμμέναι interrogationis signum posui pro puncto. ὃ οὗτος vulg. Οὐχ rescribendum est vel propter §. 13. οὐ τὸ τελευταῖον κτλ. ὁ αὐτὸς vel ὁ αὐτὸς οὗτος malit Wurm. ἐκτῖσαι] ἐκτίσαι vett. edd. Post hoc verbum virgulam ponunt Steph. Wech. Reisk. Bekk. Schm. Dobs.: Aldus non item. Quam post τοῦτο collocari volunt Schm. Wurm. Dobreus, et pos. Bait. et Spp. τοῦτο] πάντα malit Reisk. Bekkerus uncis seclusit τοῦτο. Aut οὐχ cum Schmidtio legendum aut τοῦτο delendum censent Bait. et Spp. τὸν ἐντυγχ.] τὸν ἀεὶ ἐντυγχ. Dobreus.

§. 13, 2. λέγειν] λέξειν Z. 4. ἔμπροσθεν] ἔνδοθεν (ἔμπροσθεν) M. δικαστηρίων] Reiskio deesse videtur ὤφθη v. ἑωρᾶτο. Possis, duce Dem. in Aristog. I. 49, inserere οὐκ ἐπαύετο. 5. προεδρίαν] προεδρείαν N. τῶν] τὴν N. ἐκάθιξεν] ἐγκαθίζων malit Reisk.

§. 14, 1. Εἶτ'] εἶθ' ZM. 2. κατεψηφισμένον] κατεψηφισμένοι suspic. Reisk., et comma post κατεψηφ. poni, post πολιτῶν tolli jubet: quod sustulerunt recentiores editores. κατεψηφισμένων M. 3. ἐνδειχθέντα] διδαχθέντες NABZM. κατεψηφισμένον δ' ὑπὸ τῶν πολιτῶν [καὶ] ἀπαχθέντα φυλάξαι οὔθ' susp. Sauppius. Malim κατεψηφισμένον δ' ὑπὸ τῶν πολιτῶν ἐνδειχθέντα φυλάξαι κτλ.

νον κελεύει τὸν κήρυκα μετ' εὐφημίας πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι περὶ τῶν πραγμάτων παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον καὶ περὶ πάντας πονηρὸν καὶ μάλιςα περὶ τὸν ἑαυτοῦ πατέρα γεγενημένον, τοῦτον μεθ' ὑμῶν καὶ μετὰ τῶν ὑμετέρων οἰκείων καὶ
15. συγγενῶν ἐάσετε πολιτεύεσθαι; καὶ Δημάδῃ μὲν καὶ Δημοσθένει οὐδεμίαν ᾤεσθε δεῖν συγγνώμην ἔχειν, ὅτι δῶρα καθ' ὑμῶν ἐξηλέγχθησαν λαμβάνοντες, ἀλλ' ἐτιμωρήσασθε, καὶ δικαίως, οἷς εἰ μὴ πάντα ἀλλὰ πολλά γε σύνιςε χρήσιμα πεπολιτευμένοις· τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν ὑμᾶς πεποίηκεν οὐδεπώποτε ἐξ οὗ πρὸς τὴν πόλιν προσελήλυθε, κακὸν δ' ὅ, τι δυνατός ἐςιν, ἀφήσετε; καὶ τίς οὐκ ἂν ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον προσδεχομένοις σύμβουλον; ὅταν γὰρ ἄνθρωπος γνώριμος καὶ φανερὸς καὶ περιβόητον τὴν πονηρίαν παρὰ πᾶσι τοῖς πολίταις ἔχων ἐν ὑμῖν δημηγορῇ, τότε τοὺς ἀκούοντας ὑμᾶς οἱ περιεςηκότες θαυμάσουσι, πότερα βελτίους οὐκ ἔχετε συμβούλους ἢ καὶ
16. χαίρετε τῶν τοιούτων ἀκούοντες. χρὴ δέ, ὦ Ἀθηναῖοι, ὥσπερ οἱ πρῶτοι νομοθέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόν-

---

§. 14, 11. ἐάσετε] ἐάσατε Ald.

§. 15, 2. δεῖν om. Z. 3. ἐξηλέγχθησαν] ἠλέγχθησαν M. 5. πεπολιτευμένοις N et conjec. Reisk. πολιτευομένοις vulg. Conf. Dem. Olynth. I. 28. II. 4. 6. ὑμᾶς πεποίηκεν οὐδεπώποτε] ὑμᾶς οὐδέποτε πεποίηκεν N. Bekkerus pro οὐδεπώποτε conjec. οὐδὲν οὐδεπώποτε, Wurm. οὐδὲν πώποτε. (οὐδὲ πώποτε pro οὐδεπώποτε Ald. Bekk. Bait. et Spp.) 7. πόλιν NABZM. πολιτείαν vulg. Cf. or. in Theocr. 30. πρὸς τὴν πόλιν προσελθών. προσελήλυθε] εἰσελήλυθε ZM. 9. προσδεχομένοις N. δεχομένοις vulg. Cf. Aesch. in Ctes. 134. 202. 10. γνώριμος καὶ φανερὸς] γνώριμον καὶ φανερὸν susp. Reisk. 11. τοῖς πολίταις om. pr. M. ἐν ὑμῖν add. N. 12. θαυμάσουσι] θαυμάζουσι ZM Bekk. Bait. et Spp. sine idonea causa. 13. πότερα N. πότερον vulg. ἢ καὶ NABLZM Bekk. et recc. edd. et conj. Reisk. καὶ ceteri. 14. τῶν τοιούτων] τὸν τοιοῦτον N.

γόντων τοῖς προγόνοις ὑμῶν ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς ζητεῖν ἀκούειν, ἵνα βελτίους τοὺς προσιόντας ὑμῖν ποιήσητε. πῶς οὖν ἐκεῖνοι περὶ τούτων ἐγίγνωσκον; πρῶτον μὲν καθ' ἑκάςην * ἐκκλησίαν * δημοσίᾳ κατὰ τῶν πονηρῶν ἀρὰς ποιούμενοι, εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι: ὧν οὗτος νῦν ἐςὶν Ἀριςογείτων· ἔπειτα ἐν τοῖς νόμοις δώρων γραφὰς ποιήσαντες, 17.
καὶ κατὰ μόνου τούτου τῶν ἀδικημάτων δεκαπλασίαν ἐπιτιθέντες τοῦ λήμματος τὴν ἔκτισιν, ἡγούμενοι τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ ῥηθήσεσθαι μελλόντων λόγων, τοῦτον οὐχ ὑπὲρ τῶν τοῦ δήμου βελτίςων ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων δημηγορεῖν· Ἀριςογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· πρὸς δὲ τούτοις ἀνακρίναντες τοὺς τῶν κοινῶν τι μέλλοντας διοικεῖν, τίς ἐςι τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ τὰς ςρατείας ὑπὲρ τῆς πόλεως ἐςράτευται, εἰ

---

§. 16, 3. ὑμῶν N. ἡμῶν vulg. Post pronomen desiderat ἐνομοθέτησαν Reiskius λέγειν. ἐνομοθέτησαν] ἐνομίσθησαν M. 5. ποιήσητε] ποιήσετε N. ἐγίγνωσκον N. ἐγίνωσκον vulg. 6. καθ' ἑκάςην ἐκκλησίαν Dobreus: κατ' ἐκκλησίαν ἑκάςην malit Sauppius: sed cf. I. 42. 47. Dem. in Phil. III, 1. in Aristocr. 97. Wurm. Comm. p. 112. καθ' ἑκάςην vulg. δημοσίᾳ] vel καὶ vel τὴν δημοσίαν ded. vid. pr. A. 7. κατὰ τ. πονηρ. ἀρ. ποιούμενοι N. ἀρ. ποιούμενοι κατὰ τῶν πονηρῶν vulg. πονηρῶν a corr. hab. M. 8. λέγει καὶ γιγνώσκει N. λέγει καὶ γινώσκει ABLZM Bekk. et recc. edd. λέγῃ καὶ γινώσκῃ ceteri. 9. ἐςὶν] ἐςιν vett. edd.

§. 17, 1. ἔπειτα N. ἔπειτ' vulg. ἐν τοῖς νόμοις ABLZ Bekk. et recc. edd. ἐν τοῖς βωμοῖς NM. ἐν βωμοῖς ceteri: in quorum locum ἀζημίους τὰς substitui voluit Reisk. ἐν νόμοις Meier. de bon. damn. p. 115. ἐν βωμοῖς defendit Platner. Proc. u. Klag. II. p. 161. 3. λήμματος Bekk. Bait. et Spp. coll. I. 60. τιμήματος vulg. τὸν] τὴν M. 9. ἐςι Kühn. ad Polluc. 8, 85. Meier. Att. Proc. p. 203. prob. Schm., recep. Bait. et Spp. ἐςι aut ἔςτε scribi voluit Reisk. ἔςαι vulg. 10. ςρατείας] ςρατιὰς ZM.

18. ἱερὰ πατρῷα ἔςιν, εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι δεῖξαι συμβεβηκὸς Ἀριςογείτων αὐτῷ. ἀντὶ μὲν γὰρ τοῦ γονέας εὖ ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ' ὑμεῖς ἐςρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς μνῆμά τι ἔχειν, ὦ Ἀθηναῖοι, δεῖξαι, ὥς' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐκεῖ τὰ νομιζόμενα ἐποίησεν αὐτῷ· τῶν δ' ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων, οὗτος οὐδὲ τῶν δημοσίων καὶ
19. ὧν ὦφλε τὸ ἀργύριον ἅπαν ἐκτέτικεν. ἁπλῶς δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις ἅπασι πράττων διατετέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ τοῖς ἐζητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης ὑμεῖς πυθόμενοι τοῦτον ἴςε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλὰ ἕκαςος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου πονηρίαν. ὥςε τὸ πολλάκις λεγόμενον ἀληθὲς εἰπεῖν ἐςίν, ὅτι

---

§. 17, 11. ἱερὰ] ἠρία Vales. ad Harpocr. p. 88. Meier. Att. Proc. p. 203., quod probat Schm., recep. Bait. et Spp. Ante ἱερὰ expunctae in A 2 lit. et ded. vid. pr. A. εἰς τὰ ἱερά. ἔςιν] ἐςιν Ald. Dobs. ἐςὶν Steph. Wech.

οι
§. 18, 1. ἔχοι] ἔχει M. 2. δεῖξαι hic habet N: vulgo infertur post αὐτῷ. Ἀριςογείτων NABL Bekk. et recc. edd. ὁ Ἀριςογείτων ceteri. αὐτῷ] αὐτῷ Ald. N. 3. τοῦ N et A (Dobs. teste) Bekk. Schm. Bait. et Saupp. τοὺς vulg. τοῦ τοὺς conj. Reisk. 4. ἐςρατεύεσθε] ἀςρατεύεσθε Ald. 6. ἔχειν om. ZM. ἐν Ἐρετρίᾳ] ἐνερετίᾳ Ald. 7. αὐτοῦ] αὐτῷ ZM, quod prob. Wurm. Comm. p. 21. 9. οὐδὲ τῶν N Bait. et Spp., quod maluerat Reisk. οὐδ' ἐκ τῶν vulg. 10. ὦφλε] ὦφλεν N.

§. 19, 2. πράττων NABLZ Stephanus, Reisk. et recc. edd. πραγμάτων vett. edd. 3. τοῖς ἐζητηκόσι] Interponendum οὐκ videtur Reiskio. 5. πυθόμενοι] πειθόμενοι M. 6. ἀλλὰ N. ἀλλ' vulg. πονηρίαν NABLZM Bekk. et recc. edd. μοχθηρίαν ceteri. quod praefert Wurm. p. 188. coll. Phot. lex. p. 277. Pors. καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτω Δείναρχος. 7. ἀληθὲς] ἀλληθὲς Ald. ἐςίν] ἐςιν vett. edd. Reisk. ὅτι NAB Bekk. et recc. edd. ἔτι ceteri. ἔςι καὶ νῦν ἔτι conj. Reisk. qui post περὶ

περὶ μὲν τούτου τὴν ψῆφον ὑμεῖς μέλλετε φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστηκότες καὶ οἱ ἄλλοι πάντες.

Διὸ καὶ σωφρόνων ἐστὶ δικαστῶν, ὦ Ἀθηναῖοι, μήθ' 20. ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς ἄλλοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους πάντας παραδοῦναι * τοῦτον * τοῖς ἐπὶ τοῦτο τεταγμένοις θανάτῳ ζημιῶσαι, καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι τὴν ὁσίαν καὶ τὴν εὔορκον ψῆφον, ἀναμνησθέντας ὅτι τούτου κατέγνωκεν ἡ βουλὴ δῶρα λαμβάνειν καθ' ὑμῶν, τούτου κατέγνωκεν ὁ πατὴρ καὶ ζῶν καὶ τελευτήσας ἀδικεῖν ἑαυτόν, καὶ ἵνα τὸ πραότατον εἴπω τῶν ὀνομάτων, τούτου καταχειροτονήσας ὁ δῆμος παραδέδωκεν ὑμῖν τιμωρήσασθαι. οὗτος πολλὰ 21. κακὰ διαπεπραγμένος ἐπὶ τοιούτοις εἴληπται πράγμασι νῦν ἀδικῶν, ἐφ' οἷς αἰσχρόν ἐστιν ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. τίνα γὰρ τρόπον, ὦ Ἀθηναῖοι, περὶ τῶν ἄλλων ἀποφάσεων οἴσετε τὴν ψῆφον;

μὲν interponi voluit οὖν: aut legendum censet ἀληθές ἐστιν ὅτι περὶ μὲν τούτου. Ante Bekk. post ἔτι interpunxerunt. 9. ὑμῶν] ἡμῶν M. οἱ sup. lin. hab. a pr. A.

§. 20, 1. ἐστὶ δικαστῶν] ἀνδρῶν ἐστὶν Z pr. M. 3. καταψηφισαμένους] καταψηφισάμενος pr. M. 4. παραδοῦναι τοῦτον susp. Schmidt. παραδοῦναι vulg. τοῦτο NB et A fort. corr. Schm. Bait. et Spp. τούτῳ Z Bekk. τοῦτο aut τούτῳ scribi jubet Stephanus. τοῦτον ceteri. Accusativus in hac dictione, etsi rarioris est usus, a graeco sermone non abhorret: cf. Aristoph. Avv. 607. Both. Plat. Timae. p. 47. C. Lobeck. Phryn. p. 475. Bernhardy. Synt. p. 253. 5. καὶ μὴ προδοῦναι] Haec verba interpretamenti speciem prae se ferunt. 6. ὁσίαν Bekk. in Add. coll. I, 110., Dobreus, recep. Bait. et Spp. εὐθεῖαν Reisk. cur. post. v. 8. p. 455. θείαν vulg. „Eodem jure quo ὁσία potest etiam ἡ ψῆφος dici θεία“ Schmidt. Quae quantum inter se distent in aperto positum est. εὔορκον] εὐεργον Ald. 7. δῶρα] γὰρ add. ZM. 9. πραότατον susp. Reisk. recep. Bait. et Spp. πραότερον vulg. 11. παραδέδωκεν N. παρέδωκεν vulg. Cf. I. 64. II. 14. cum I. 98.

§. 21, 3. νῦν om. pr. A. ἐστιν] ἐστι N.

ἢ διὰ τίνας προφάσεις τῶν ἤδη κεκριμένων ἔσεσθε
κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν ἀποφαίνειν τὴν βου-
λὴν τοὺς εἰληφότας τὰ χρήματα φαίνεσθε σπουδάζον-
τες, τὸ δὲ τιμωρεῖσθαι τοὺς ἀποπεφασμένους ἐῶντες;
22. μὴ γὰρ ἰδίους τοὺς ἀγῶνας τούτους ὑπολάβητε εἶναι
κατὰ τῶν νῦν ἀποπεφασμένων μόνων, ἀλλὰ κοινοὺς
καὶ κατὰ τῶν ἄλλων ἀνθρώπων. δωροδοκία γὰρ καὶ
προδοσία κρινομένη παρ' ὑμῖν δυοῖν θάτερον ἐκ τοῦ
λοιποῦ χρόνου ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμ-
βάνειν καθ' ὑμῶν θαῤῥοῦντας ὡς οὐ δώσοντας δίκην,
ἢ φοβεῖσθαι τὸ λαμβάνειν ὡς τῆς τιμωρίας τοῖς λη-
23. φθεῖσιν ἀξίας γενησομένης τῶν ἀδικημάτων. οὐκ ἴσθ'
ὅτι καὶ νῦν ὁ φόβος ὁ παρ' ὑμῶν τοὺς ὁρμῶντας ἐπὶ
τὰ καθ' ὑμῶν ἥκοντα χρήματα [νῦν] ἀνείργει καὶ
ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος ἀποςρέφειν, καὶ τὸ
ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν βουλὴν περὶ τού-
των τῶν χρημάτων προστάττον, οὐδὲ τοὺς κεκομικότας
24. τὸ χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποίηκε; καλῶς

---

§. 21, 6. κεκριμένων] κεκριμμένων pr. A. ἔσεσθε] ἔσεσθαι pr. N. (rec. ἔσεσθε.) 8. φαίνεσθε] φανεῖσθε Dobreus.

§. 22, 1. τοὺς ante ἀγῶνας add. N. ὑπολάβητε] ὑπολάβοιτε ABZM Schm. 2. κατὰ] καὶ κατὰ Bekk. cum libris, ut opinabatur; sed ea quae ad hunc versum adnotavit, pertinent ad versum seq. Schm. Cf. Bait. et Spp. ἀποπεφασμένων μόνων N. μόνων ἀποπεφασμένων ABLZM Bekk. Schm. μόνον ἀποπεφασμένων ceteri: ἀποπεφασμένων μόνον praeoptabat Reisk. 3. καὶ κατὰ N A (Dobs. teste) Bait. et Spp. κατὰ vulg. 4. προδοσία] προδοσίαν Ald. ἐκ N Bait. et Spp. ἐπὶ vulg. quod a corr. hab. A. Aut ἐκ scribendum aut praepositionem delendam censet Wurm. p. 117.

§. 23, 3. ὑμῶν N quod malebat Reisk. ἡμῶν vulg. νῦν secluserunt Bekk. Schm. 4. ποιεῖ] ποιῇ M. ἀποςρέφειν] τοὺς ὀφθαλμοὺς ἀποςρέφειν malit Reisk. 6. προστάττον Reisk. et recc. edd. πρός τ' αὐτὸν ceteri. Steph. atque Wech. post haec verba lacunae signum posuerunt.

γάρ, ὦ Ἀθηναῖοι, καλῶς οἱ πρόγονοι περὶ τούτων ψη-
φισάμενοι ςήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε φασὶν
Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ
χρυσίον ἐκ Μήδων ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων. πρὶν
γὰρ λαβεῖν τινὰς καὶ δοῦναι τοῦ τρόπου πεῖραν, φυ-
γὴν τοῦ κομίσαντος τὸ χρυσίον καταγνόντες ἐξήλασαν
αὐτὸν ἐξ ἁπάσης τῆς χώρας. καὶ ταῦθ', ὥσπερ εἶπον,
εἰς τὴν ἀκρόπολιν εἰς ςήλην χαλκῆν γράψαντες ἀνέ-
θεσαν, παράδειγμα ὑμῖν τοῖς ἐπιγινομένοις καθιςάν-
τες, καὶ νομίζοντες τὸν ὁπωσοῦν χρήματα λαμβάνοντα
οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῶν διδόντων βου-
λεύεσθαι. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν 25.
δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γρά-
ψαντες διαῤῥήδην Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζε-
λείτην πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων,
αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ Μή-
δων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. καίτοι εἰ τὸν
ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν αἴτιον
ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ ῥαθύμως ἔχειν

---

§. 24, 2. οἱ πρόγονοι om. pr. M. 4. Ἄρθμιον] ἀρίθμιον NAB. Ζελείτην] ζελίτην pr. A. τὸ χρυσίον] τὸ χρητίον Ald. τὸ τότε χρυσίον malebat Reisk. τὸ χρυσίον τὸ suspic. Schm. Cf. Dem. in Phil. III. §. 42. ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν. de f. leg. §. 271. ὅτι τὸν χρυσὸν τὸν ἐκ τῶν βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. Aesch. in Ctes. §. 258. Ἄρθμιον τ. Ζ. κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον. Plutarch. Themistocl. 6. ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε. Cf. etiam nostr. §. 25. 5. διαφθορᾷ] διαφορᾷ Z. 6. τινὰς om. pr. M. τοῦ τρόπου NABLZM Bekk. et recc. edd. τρόπου cett. 7. ἐξήλασαν] ἐξήλησαν Ald. 8. ἁπάσης] τῆς πάσης M. τῆς om.
ἀν
Z. ταῦθ' a corr. hab. A. 9. ἀνέθεσαν] ἔθεσαν M. 10. ὑμῖν NABLZ Bekk. et recc. edd. ἡμῖν ceteri. 11. ὁπωσοῦν] ὁποσοῦν Ald.

§. 25, 3. Ἄρθμιον] ἀρίθμιον NA. Ζελείτην] ζελίτην pr. A. 4. εἶναι] εἶναι καὶ ZM. 8. ἔχειν] φέρειν ZM.

ὁρῶντας ἐν ταύτῃ τῇ πόλει δωροδοκίαν γιγνομένην; καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.

ΣΤΗΛΗ.

26. Καίτοι, ὦ Ἀθηναῖοι, τί ἂν οἴεσθε ἐκείνους τοὺς ἄνδρας ποιῆσαι λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν δῶρα δεχόμενον ἐπὶ τοῖς τῆς πατρίδος συμφέρουσιν, οἳ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν; τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς τὸν βάρβαρον.

---

§. 25, 9. *ταύτῃ τῇ*] *αὐτῇ τῇ* Dobreus, quod ego quoque praetulerim coll. I. 93. *γιγνομένην* N. *γινομένην* vulg. 11. *ΣΤΗΛΗ*] *Στήλην* Ald.

§. 26, 2. *ποιῆσαι* post *ἄνδρας* infert solus N: ceteri ante *ἐκείνους* ponunt. *ποιήσειν* hab. ZM. 3. *δ. δεχόμενον*] *ἀναδεχόμενον* (*δῶρα*) M. *τοῖς τῆς* NA (quod suspicatus erat Reisk.) Bekk. et recc. edd. *τῆς* BZM. *τοῖς* ceteri. 6. *ἐξήλασαν* Bait. et Saupp. *ἐξήλασαν ἐκ Πελοποννήσου πάσης* ceteri. Verba *ἐκ Πελοποννήσου πάσης — βάρβαρον* ab imperito librario adjecta esse videntur Wurmio. Peloponnesi mentionem huc non pertinere certum est. Cf. Aeschin. in Ctes. §. 259. et nostr. supr. §. 24. Schmidtius malit *ἐξ Ἑλλάδος πάσης*. 7. *τὸν βάρβαρον* NAZM Bekk. et recc. edd. *τὴν βάρβαρον* ceteri.

III.

ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ.

Τί χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτων ἀνθρώπων, ἢ πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ, ὃς οὐχ ἅπαξ ἀλλὰ τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ὡς ὑμεῖς ἅπαντες ἴςε καὶ νῦν ἐν τῷ δήμῳ ἠκούετε, καὶ ἐψευσμένος ἁπάντων Ἀθηναίων ἐναντίον καὶ τῶν περιεςηκότων, φάσκων κωλύσειν Ἅρπαλον εἰς τὸν Πειραιᾶ καταπλεῦσαι, ςρατηγὸς ὑφ' ὑμῶν ἐπὶ τὴν 2. Μουνυχίαν καὶ τὰ νεώρια κεχειροτονημένος, καὶ δῶρα τολμήσας λαβεῖν κατὰ πάντων ὑμῶν καὶ τῆς χώρας καὶ παίδων καὶ γυναικῶν, καὶ ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ τοῦ ἕδους καὶ τῆς τραπέζης, καὶ γράψας καθ' ἑαυτοῦ ψήφισμα, καὶ θανάτου τιμησάμενος ἐὰν

---

§. 1, 1. Τί χρὴ λέγειν πρὸς τῶν] Τί χρὴ λέγειν τὸ πρὸς τῶν Dionys. Hal. de Dinarch. jud. 10. Pro λέγειν in M est ποιεῖν sed superscr. λέγειν. τοιούτων ἀνθρώπων N. τοιούτου ἀνθρώπου vulg. 2. ἢ πῶς Bekk. et recc. edd. ὅπως ceteri. Cf. I. 102. 3. ἐξεληλεγμένος] ἐληλεγμένος N. ἐξ om. N. 5. καὶ ἐψευσμένος] Reiskius aut deesse aliquod participium ante καὶ e. c. ἐπιβουλεύσας ὑμῖν, aut delendum esse καὶ putat. ἐναντίον] ἐναντίον a corr. hab. A. ἐναντίος ZM. 6. περιεςηκότων] περιεςώτων pr. M. κωλύσειν] ποιήσειν M. (superscr. κωλύ) 7. καταπλεῦσαι Bekk. Schm. καταπλεύσειν cett. Futurum defendit Lobeck. ad Phryn. p. 748. et Schm. At ipsa forma futuri ferri nequit.

§. 2, 1. ὑμῶν] ἡμῶν M. 5. ὅρκον] ὅρκον N. ἕδους] ἕδους Ald. 6. τιμησάμενος A Bekk. et recc. edd. τιμωρησάμενος vett. edd. ἐὰν] Hunc locum corruptum esse patet: male intellectum pronominis ἑαυτῷ compendium, quod pronomen Dinarchi usus requirit, peperisse videtur illud ἐάν: quo suscepto, particula εἰ ejecta est. Itaque pro ἐὰν rescripserim: ἑαυτῷ εἰ. Cf. I. 1.

εἴληφέ τι τῶν χρημάτων ὧν Ἅρπαλος εἰς τὴν χώραν
3. ἐκόμισεν, ὅμως ἐτόλμησεν εἰς τοὺς εἰδότας ὑμᾶς ἐξε-
ληλεγμένον ἑαυτὸν ἅπασι τούτοις ἔνοχον γεγενημένον
ἐλθεῖν καὶ δεῖξαι ἑαυτόν, οὐ τῷ δικαίῳ πιςεύων, ὦ
Ἀθηναῖοι, (τί γὰρ τούτῳ δικαιοσύνης μέτεςιν;) ἀλλὰ
τῇ τόλμῃ καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώμενος πρότερον μὲν
ἠξίωσε καταφρονῆσας ὑμῶν καὶ τῶν ἐν τῇ πόλει δι-
καίων τὰ χρήματα λαβεῖν, νυνὶ δὲ ἀπολογησόμενος
ἥκει ὡς οὐδὲν τούτων διαπέπρακται· τοσοῦτον τῆς ὑμε-
4. τέρας ῥᾳθυμίας καταπεφρόνηκε. καὶ ὁ μὲν κοινὸς τῆς
πόλεως νόμος, ἐάν τις ἐναντίον τῶν πολιτῶν ὁμολο-
γήσας τι παραβῇ, τοῦτον ἔνοχον εἶναι κελεύει τῷ ἀδι-
κεῖν· ὁ δὲ πάντας Ἀθηναίους ἐξηπατηκὼς καὶ προ-
δοὺς τὴν πίςιν ἣν παρ᾽ ὑμῶν οὐκ ἄξιος ὢν ἔλαβε, καὶ
τὸ καθ᾽ αὑτὸν μέρος ἅπαντ᾽ ἀνατετραφὼς τὰ ἐν τῇ
πόλει, οὗτος ἐπὶ τὴν ἀπολογίαν ἥκειν φήσει τὴν ὑπὲρ
5. τῆς αἰτίας τῆς εἰς αὑτὸν γεγενημένης; ἐγὼ δέ, ὦ Ἀθη-
ναῖοι, εἰ δεῖ τἀληθῆ λέγειν (δεῖ δέ), οὐδὲ τὰς ἀπο-

§. 2, 7. εἴληφέ] εἰλήφῃ conj. Bekk., recep. Bait. et Saupp., prob. Wurm. εἰληφώς τι ληφθῇ coll. 1, 40. Dobreus. εἰς τὴν χώραν om. pr. M. 8. ἐκόμισεν] εἰσεκόμισεν ZM.

§. 3, 2. ἑαυτὸν] αὑτὸν Stephanus. Cf. Buttmann. ad Dem. Mid. p. 141. Blume ad Lycurg. Excurs. III. p. XXVII. 3. ὦ Ἀθηναῖοι add. N. 5. καὶ τῇ] τῇ N pr. A. 9. καταπεφρόνηκε] κατὰ πεφρονηκε Ald.

§. 4, 2. ἐναντίον] ἐναντίος N. ὁμολογήσας parum perspiciens hujus loci sententiam deleri jubet Dobreus. 3. τι] τὶ Ald. 4. ἐξηπατηκὼς NAB Bekk. et recc. edd. om. ZM. ἠδικηκὼς ceteri. 5. ἔλαβε] ἐλάμβανε ZM. 6. ἀνατετραφὼς] ἀνατετροφὼς Z. ἀνα- o τετραφὼς M. 8. αὑτὸν] αὐτὸν Bait. et Spp. Cf. Blume ad Lycurg. Excurs. III. p. XXVII.

§. 5, 1. ὦ Ἀθηναῖοι N. ὦ ἄνδρες vulg. Cf. §. 3. 7. 11. 12. 13. 14. 17. 19. 20. 21. 22. ὦ ἄνδρες habes §. 9 extr. 2. οὐδὲ] Malim οὐ.

φάσεις οἶμαι νῦν κρίνεσθαι, πότερον ἀληθεῖς εἰσὶν ἢ
ψευδεῖς αἱ κατὰ Φιλοκλέους γεγενημέναι· ἀλλὰ περὶ
μὲν τῆς τιμωρίας ὑμᾶς δεῖν τῆς ἐν τῷ ψηφίσματι γε-
γραμμένης δικάσαι νῦν, πότερα δεῖ χρημάτων τιμῆσαι
τῷ τηλικαῦτα ἠδικηκότι τὴν πόλιν, ἢ θανάτῳ ζημιώ-
σαντας, ὥσπερ οὗτος ἔγραψεν ἐν τῷ ψηφίσματι καθ'
αὐτοῦ, δημεῦσαι τὴν οὐσίαν τὴν ἐκ τοιούτων λημμά-
των συνειλεγμένην.

Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρη- 6.
μάτων πονηρὸν γεγενῆσθαι, ἢ νῦν πρῶτον καθ' ὑμῶν
δῶρα εἰληφέναι; οὐκ ἔςι ταῦτα, ἀλλὰ πάλαι τοιοῦτος
ὢν ἐλάνθανεν ὑμᾶς, καὶ εὐτυχεῖτε, καθότι οὐκ ἐν μεί-
ζοσι καιροῖς ἐπύθεσθε τὴν αἰσχροκέρδειαν αὐτοῦ· οὐ
γὰρ ἔςι χαλεπώτερον ἀνθρώπου τὴν [αὐτὴν] πονηρίαν
ἀγνοουμένην ἔχοντος. οὐκ ἀποκτενεῖτε, ὦ Ἀθηναῖοι, 7.
πάντες ὁμοθυμαδὸν τὸν εἰς τοσαύτην αἰσχύνην καὶ
ἀδικίαν πολλοὺς τῶν πολιτῶν ἐμβεβληκότα, τὸν ἀρχη-

---

§. 5, 3. εἰσὶν] εἰσιν vett. edd. 4. αἱ NABLZM Bekk. et recc. edd. καὶ αἱ ceteri. 5. μὲν] μόνης conj. Reisk. recep. Bait. et Spp. δεῖν NA (Dobs. teste), Bait. et Spp. δεῖ vulg. τῆς a corr. hab. A. γεγραμμένης a corr. hab. A. 7. τὴν πόλιν om. pr. A. 9. αὑτοῦ] αὐτοῦ N. δημεῦσαι suasore Reisk. ded. Bekk. et recc. edd. ἢ δημεῦσαι cett. Cf. Meier. de bon. damn. p. 115.

§. 6, 2. νῦν, quod Reisk. additum voluit, e codd. NAB suscep. Bekk. et recc. edd. 3. εἰληφέναι] λαμβάνειν (superscr. εἰληφέναι) M. 4. εὐτυχεῖτε Suidas s. v. πυνθάνεσθαι et Schol. Aristoph. Eqq. v. 1299. qui universum hunc locum ita scribunt: εὐτυχεῖτε ὅτι οὐκ ἐν μείζονι καιρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν. ηὐτυχεῖτε Bekk. et recc. edd., praeeunte Reiskio, qui aut ηὐτύχει ἡ πόλις aut ηὐτυχεῖτε scribendum censuit. εὐτύχει N. ηὐτύχει cett. 5. οὐ] οὐδὲν Stephanus. 6. τὴν αὐτὴν] τὴν αὑτοῦ Stephanus, Bait. et Spp. coll. Isocr. 20, 13. atque prob. Wurm. τοιαύτην proponit Schm. Secluso αὐτὴν constat sententia: cf. II. 15. 7. ἀγνοουμένην om. pr. M.

§. 7, 3. ἀδικίαν] ἀτυχίαν susp. Schm. Possis suspicari ἀδο-

γὸν γενόμενον τοῦ διαδεδομένου χρυσίου καὶ εἰς αἰ-
τίαν καθιςάντα πᾶσαν τὴν πόλιν; ἀλλ' ὑπομενεῖτε
ἀκούειν τοῦ τοσαῦτα διαπεπραγμένου καθ' ὑμῶν, ὡς
[ὅτι] τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ ψευδεῖς πεποίη-
ται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν δίκαιος καὶ χρη-
ςὸς καὶ ἀδωροδόκητός ἐςιν, ἡ δ' ἐξ Ἀρείου πάγου βουλὴ
8. ταῦτα πάντα προεῖται χάριτος ἢ λήμματος ἕνεκα; ἆρ'
ἴςε ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἀδικημάτων σκεψαμένους
ἀκριβῶς δεῖ μεθ' ἡσυχίας καὶ τἀληθὲς ἐξετάσαντας,
οὕτως ἐπιτιθέναι τοῖς ἠδικηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ
ταῖς φανεραῖς καὶ παρὰ πάντων ὡμολογημέναις προ-
δοσίαις πρῶτον τετάχθαι τὴν ὀργὴν καὶ τὴν μετ' αὐ-
9. τῆς γιγνομένην τιμωρίαν; τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθε
ἀποδόσθαι τῶν ἐν τῇ πόλει σπουδαιοτάτων, ὅταν ὑμεῖς
ὡς πιςὸν αὐτὸν καὶ δίκαιον φύλακα καταςήσητε; ποίας
οὐκ ἂν προδοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ
τίνος ἂν φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λή-
ψεσθαι διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; οὐδὲν ὅτι
10. οὐκ ἂν ὁ τοιοῦτος, ὦ ἄνδρες, ποιήσειεν. ὅςις γὰρ ἀρ-
γύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς πί-
ςεως [ποιεῖται] καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε

ξίαν coll. I. 93. τῶν πολιτῶν add. N. 4. γενόμενον] διδόμενον ZM. διαδεδομένου AM Reisk. et recc. edd. (cum codd., opinor, omnibus) διαδεχομένου vett. edd. καὶ] ἀλλ' ZM. 5. καθιςάντα Stephanus, Reisk. Bait. et Spp. καθίσαντα ceteri: quod Graecorum non fert consuetudo. 6. τοῦ om. Z. ὅτι post ὡς secludendum censui. ὡς ejec. Bait. et Spp. Cf. I. 60. 10. ἕνεκα] ἕνεκεν ZM.

§. 8, 2. ἴςε N vett. edd. οἶσθ' ZM. ἴσθ' cett. 6. πρῶτον] πρώτην malit Reisk. μετ' αὐτῆς conj. Bekk., recep. Bait. et Spp. μετ' αὐτὴν ceteri.

§. 9, 2. ὑμεῖς] ὑμεῖν Ald. 3. καταςήσητε] καταςήσετε N. 5. λήψεσθαι διπλάσιον a corr. hab. A.

§. 10, 3. ποιεῖται] ἡγεῖται Bait. et Saupp. αἱρεῖται vulg. Graecorum usus requirit aut περὶ πλείονος ἡγεῖται v. ποιεῖται aut μᾶλλον αἱρεῖται. Confusa sunt in codd. περὶ μικρῶν . . αἱρού-

δικαίου πλείω λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται, οὗτος ἀποδώσεται τὸ καθ' ἑαυτὸν τὴν Μουνυχίαν, ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος ἐξαγγελεῖ τοῖς πολεμίοις σύνθημα φήνας καθ' ὑμῶν, οὗτος προδώσει τὴν πεζὴν καὶ ναυτικὴν δύναμιν.

